ne sit igitur rectus conus. iam si triangulus per axem positus ad circulum $B\Gamma$ perpendicularis est, eodem modo demonstrabimus, etiam ΔE ad ZH perpendicularem esse. ne sit igitur triangulus per axem positus $AB\Gamma$ ad circulum $B\Gamma$ perpendicularis. dico, ne ΔE quidem ad ZH perpendicularem esse. nam si fieri potest, sit. uerum etiam ad $B\Gamma$ perpendicularis est. ΔE igitur ad utramque $B\Gamma$, ZH perpendicularis est; quare etiam ad planum per $B\Gamma$, ZH ductum perpendicularis erit [Eucl. XI, 4]. planum autem rectarum $B\Gamma$, HZ est $AB\Gamma$; quare ΔE etiam ad triangulum $AB\Gamma$ perpendicularis est. itaque etiam omnia plana per eam ducta ad triangulum $AB\Gamma$ perpendicularia sunt [Eucl. XI, 18]. uerum inter plana per ΔE ducta est circulus $B\Gamma$; quare circulus $B\Gamma$ ad triangulum $AB\Gamma$ perpendicularis est. itaque etiam triangulus $AB\Gamma$ ad circulum $B\Gamma$ perpendicularis erit; quod contra hypothesim est. ergo ΔE ad ZH perpendicularis non est.

Corollarium.

hinc manifestum est, ZH diametrum esse sectionis ΔZE [def. 4], quoniam rectas rectae alicui ΔE parallelas ductas in binas partes aequales secat, et fieri posse, ut parallelae a diametro ZH in binas partes aequales secentur, etiam si ad angulos rectos non fiat.

VIII.

Si conus per axem plano secatur et alio quoque plano secatur, quod basim coni secundum rectam secat ad basim trianguli per axem positi perpendicularem,

κατ' εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ἡ δὲ διάμετρος τῆς γινομένης ἐν τῇ ἐπιφανείᾳ τομῆς ἤτοι παρὰ μίαν ᾖ τῶν τοῦ τριγώνου πλευρῶν ἢ συμπίπτῃ αὐτῇ ἐκτὸς τῆς κορυφῆς τοῦ κώνου, προσεκβάλληται δὲ ἥ τε τοῦ κώνου ἐπιφάνεια καὶ τὸ τέμνον ἐπίπεδον εἰς ἄπειρον, καὶ ἡ τομὴ εἰς ἄπειρον αὐξηθήσεται, καὶ ἀπὸ τῆς διαμέτρου τῆς τομῆς πρὸς τῇ κορυφῇ πάσῃ τῇ δοθείσῃ εὐθείᾳ ἴσην ἀπολήψεταί τις εὐθεῖα ἀγομένη ἀπὸ τῆς τοῦ κώνου τομῆς παρὰ τὴν ἐν τῇ βάσει τοῦ κώνου εὐθεῖαν.


ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον· τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὸν ΒΓ κύκλον κατ' εὐθεῖαν τὴν ΔΕ πρὸς ὀρθὰς οὖσαν τῇ ΒΓ, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τὴν ΔΖΕ γραμμήν· ἡ δὲ διάμετρος τῆς ΔΖΕ τομῆς ἡ ΖΗ ἤτοι παράλληλος ἔστω τῇ ΑΓ ἢ ἐκβαλλομένη συμπιπτέτω αὐτῇ ἐκτὸς τοῦ Α σημείου. λέγω, ὅτι καί, ἐὰν ἥ τε τοῦ κώνου ἐπιφάνεια καὶ τὸ τέμνον ἐπίπεδον ἐκβάλληται εἰς ἄπειρον, καὶ ἡ ΔΖΕ τομὴ εἰς ἄπειρον αὐξηθήσεται.

ἐκβεβλήσθω γὰρ ἥ τε τοῦ κώνου ἐπιφάνεια καὶ το τέμνον ἐπίπεδον· φανερὸν δή, ὅτι καὶ αἱ ΑΒ, ΑΓ, ΖΗ συνεκβληθήσονται. ἐπεὶ ἡ ΖΗ τῇ ΑΓ ἤτοι παράλληλός ἐστιν ἢ ἐκβαλλομένη συμπίπτει αὐτῇ ἐκτὸς τοῦ Α σημείου, αἱ ΖΗ, ΑΓ ἄρα ἐκβαλλόμεναι ὡς ἐπὶ τὰ Γ, Η μέρη οὐδέποτε συμπεσοῦνται. ἐκβεβλήσθωσαν οὖν, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς ΖΗ τυχὸν τὸ Θ, καὶ διὰ

4. συμπίπτῃ] p; συμπίπτει V. 5. προσεκβάλληται] scripsi; προσεκβαλῆται V. 20. ἐκβαλῆται V, corr. Halley. 28. τῆς] cp; τῇ V.

diametrus autem sectionis in superficie ortae aut lateri alicui trianguli parallela est, aut extra uerticem coni cum eo concurrit, producitur autem in infinitum et superficies coni et planum secans, etiam sectio in infinitum crescet, et recta a sectione coni rectae in basi coni positae parallela ducta a diametro sectionis ad uerticem rectam cuilibet rectae datae aequalem abscindet.

sit conus, cuius uertex sit punctum A, basis autem circulus $B\Gamma$, et plano per axem secetur, quod sectionem



efficiat triangulum $AB\Gamma$; secetur autem etiam alio plano, quod circulum $B\Gamma$ secundum rectam ΔE secet ad $B\Gamma$ perpendicularem et in superficie coni sectionem efficiat lineam ΔZE. diametrus autem ZH sectionis ΔZE aut rectae $A\Gamma$ parallela sit aut producta cum ea extra punctum A concurrat. dico, si et superficies coni et planum secans in infinitum producantur, etiam sectionem ΔZE in infinitum crescere.

producatur enim et superficies coni et planum secans. manifestum igitur est, etiam rectas AB, $A\Gamma$, ZH simul produci. iam quoniam ZH aut rectae $A\Gamma$ parallela est aut producta cum ea extra punctum A concurrit, rectae ZH, $A\Gamma$ productae ad partes Γ, H uersus nunquam concurrent. producantur igitur, et in ZH punctum aliquod sumatur Θ, et per Θ punctum rectae

τοῦ Θ σημείου τῇ μὲν ΒΓ παράλληλος ἤχθω ἡ ΚΘΛ, τῇ δὲ ΔΕ παράλληλος ἡ ΜΘΝ· τὸ ἄρα διὰ τῶν ΚΛ, ΜΝ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ΒΓ, ΔΕ. κύκλος ἄρα ἐστὶ τὸ ΚΛΜΝ ἐπίπεδον. καὶ ἐπεὶ τὰ Δ, Ε, Μ, Ν σημεῖα ἐν τῷ τέμνοντί ἐστιν ἐπιπέδῳ, ἔστι δὲ καὶ ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου, ἐπὶ τῆς κοινῆς ἄρα τομῆς ἐστιν· ηὔξηται ἄρα ἡ ΔΖΕ μέχρι τῶν Μ, Ν σημείων. αὐξηθείσης ἄρα τῆς ἐπιφανείας τοῦ κώνου καὶ τοῦ τέμνοντος ἐπιπέδου μέχρι τοῦ ΚΛΜΝ κύκλου ηὔξηται καὶ ἡ ΔΖΕ τομὴ μέχρι τῶν Μ, Ν σημείων. ὁμοίως δὴ δείξομεν, ὅτι καί, ἐὰν εἰς ἄπειρον ἐκβάλληται ἥ τε τοῦ κώνου ἐπιφάνεια καὶ τὸ τέμνον ἐπίπεδον, καὶ ἡ ΜΔΖΕΝ τομὴ εἰς ἄπειρον αὐξηθήσεται.

καὶ φανερόν, ὅτι πάσῃ τῇ δοθείσῃ εὐθείᾳ ἴσην ἀπολήψεταί τις ἀπὸ τῆς ΖΘ εὐθείας πρὸς τῷ Ζ σημείῳ. ἐὰν γὰρ τῇ δοθείσῃ ἴσην θῶμεν τὴν ΖΞ καὶ διὰ τοῦ Ξ τῇ ΔΕ παράλληλον ἀγάγωμεν, συμπεσεῖται τῇ τομῇ, ὥσπερ καὶ ἡ διὰ τοῦ Θ ἀπεδείχθη συμπίπτουσα τῇ τομῇ κατὰ τὰ Μ, Ν σημεῖα· ὥστε ἄγεταί τις εὐθεῖα συμπίπτουσα τῇ τομῇ παράλληλος οὖσα τῇ ΔΕ ἀπολαμβάνουσα ἀπὸ τῆς ΖΗ εὐθεῖαν ἴσην τῇ δοθείσῃ πρὸς τῷ Ζ σημείῳ.

θ΄.

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ συμπίπτοντι μὲν ἑκατέρᾳ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, μήτε δὲ παρὰ τὴν βάσιν ἠγμένῳ μήτε ὑπεναντίως, ἡ τομὴ οὐκ ἔσται κύκλος.

ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ τινὶ μήτε

2. ΜΘΝ] p, ΘΜΝ V. 6. τομῆς] cp, τομῇ V.

$B\Gamma$ parallela ducatur $K\Theta\Lambda$, rectae autem ΔE parallela $M\Theta N$; itaque planum rectarum $K\Lambda$, MN plano rectarum $B\Gamma$, ΔE parallelum est [Eucl. XI, 15]. itaque planum $K\Lambda MN$ circulus est [prop. IV]. et quoniam puncta Δ, E, M, N in plano secanti sunt, uerum etiam in superficie coni, in communi sectione sunt; quare ΔZE ad puncta M, N creuit. itaque crescente superficie coni planoque secanti ad circulum $K\Lambda MN$ etiam sectio ΔZE ad puncta M, N creuit. similiter igitur demonstrabimus, si et superficies coni et planum secans in infinitum producantur, etiam sectionem $M\Delta ZEN$ in infinitum crescere.

et manifestum est, rectam quandam a $Z\Theta$ recta ad Z punctum rectam cuiuis datae rectae aequalem abscisuram esse. nam si $Z\Xi$ rectae datae aequalem ponimus et per Ξ rectae ΔE parallelam ducimus, cum sectione concurret, sicut etiam rectam per Θ ductam cum sectione in punctis M, N concurrere demonstrauimus. ergo recta quaedam cum sectione concurrens rectae ΔE parallela ducitur, quae a ZH ad punctum Z rectam datae aequalem abscindat.

IX.

Si conus plano secatur cum utroque latere trianguli per axem positi concurrenti, sed neque basi parallelo neque e contrario ducto, sectio circulus non erit.


sit conus, cuius uertex sit A punctum, basis autem circulus $B\Gamma$, et secetur plano neque basi parallelo neque e contrario posito, quod in superficie sectionem efficiat lineam ΔKE. dico, lineam ΔKE circulum non esse.

παραλλήλῳ ὄντι τῇ βάσει μήτε ὑπεναντίως, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τὴν ΔΚΕ γραμμήν. λέγω, ὅτι ἡ ΔΚΕ γραμμὴ οὐκ ἔσται κύκλος.

εἰ γὰρ δυνατόν, ἔστω, καὶ συμπιπτέτω τὸ τέμνον ἐπίπεδον τῇ βάσει, καὶ ἔστω τῶν ἐπιπέδων κοινὴ τομὴ ἡ ΖΗ, τὸ δὲ κέντρον τοῦ ΒΓ κύκλου ἔστω τὸ Θ, καὶ ἀπ' αὐτοῦ κάθετος ἤχθω ἐπὶ τὴν ΖΗ ἡ ΘΗ, καὶ ἐκβεβλήσθω διὰ τῆς ΗΘ καὶ τοῦ ἄξονος ἐπίπεδον καὶ ποιείτω τομὰς ἐν τῇ κωνικῇ ἐπιφανείᾳ τὰς ΒΑ, ΑΓ εὐθείας. ἐπεὶ οὖν τὰ Δ, Ε, Η σημεῖα ἔν τε τῷ διὰ τῆς ΔΚΕ ἐπιπέδῳ ἐστίν, ἔστι δὲ καὶ ἐν τῷ διὰ τῶν Α, Β, Γ, τὰ ἄρα Δ, Ε, Η σημεῖα ἐπὶ τῆς κοινῆς τομῆς τῶν ἐπιπέδων ἐστίν· εὐθεῖα ἄρα ἐστὶν ἡ ΗΕΔ. εἰλήφθω δή τι ἐπὶ τῆς ΔΚΕ γραμμῆς σημεῖον τὸ Κ, καὶ διὰ τοῦ Κ τῇ ΖΗ παράλληλος ἤχθω ἡ ΚΛ· ἔσται δὴ ἴση ἡ ΚΜ τῇ ΜΛ. ἡ ἄρα ΔΕ διάμετρός ἐστι τοῦ ΔΚΛΕ κύκλου. ἤχθω δὴ διὰ τοῦ Μ τῇ ΒΓ παράλληλος η ΝΜΞ· ἔστι δὲ καὶ ἡ ΚΛ τῇ ΖΗ παράλληλος· ὥστε τὸ διὰ τῶν ΝΞ, ΚΜ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ΒΓ, ΖΗ, τουτέστι τῇ βάσει, καὶ ἔσται ἡ τομὴ κύκλος. ἔστω ὁ ΝΚΞ. καὶ ἐπεὶ ἡ ΖΗ τῇ ΒΗ πρὸς ὀρθάς ἐστι, καὶ ἡ ΚΜ τῇ ΝΞ πρὸς ὀρθάς ἐστιν· ὥστε τὸ ὑπὸ τῶν ΝΜΞ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΚΜ. ἔστι δὲ τὸ ὑπὸ τῶν ΔΜΕ ἴσον τῷ ἀπὸ τῆς ΚΜ· κύκλος γὰρ ὑπόκειται ἡ ΔΚΕΛ γραμμή, καὶ διάμετρος αὐτοῦ ἡ ΔΕ. τὸ ἄρα ὑπὸ τῶν ΝΜΞ ἴσον ἐστὶ τῷ ὑπὸ ΔΜΕ. ἔστιν ἄρα ὡς ἡ ΜΝ πρὸς ΜΔ, οὕτως ἡ ΕΜ πρὸς ΜΞ. ὅμοιον ἄρα ἐστὶ τὸ ΔΜΝ τρίγωνον τῷ ΞΜΕ τριγώνῳ, καὶ ἡ ὑπὸ ΔΝΜ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΜΕΞ.

16. ΔΚΛΕ] ΔΚΕΛ p. 20. ΒΓ] p, corr. ex Β m. 2 V. 21. ὁ] cp; om. V. 23. ἐστί] c, ἐστίν V.

nam si fieri potest, sit, et planum secans cum basi concurrat, communisque planorum sectio sit ZH, centrum autem circuli $B\Gamma$ sit Θ, et ab eo ad ZH perpendicularis ducatur ΘH, et per $H\Theta$ axemque planum ducatur, quod in superficie conica sectiones efficiat rectas BA, $A\Gamma$. iam quoniam puncta Δ, E, H et in plano per ΔKE et in plano per A, B, Γ sunt, puncta Δ, E, H in communi planorum sectione sunt; quare $HE\Delta$ recta est [Eucl. XI, 3]. sumatur igitur in linea ΔKE punctum aliquod K, et per K rectae ZH parallela ducatur $K\Lambda$; erit igitur [prop. VII] $KM = M\Lambda$. itaque ΔE diametrus est circuli $\Delta KE\Lambda$ [prop. VII coroll.]. iam igitur per M rectae $B\Gamma$ parallela ducatur $NM\Xi$. uerum etiam $K\Lambda$ rectae ZH parallela est; quare planum rectarum $N\Xi$, KM plano rectarum $B\Gamma$, ZH parallelum est, hoc est basi [Eucl. XI, 15], et sectio circulus erit [prop. IV]. sit $NK\Xi$. et quoniam ZH ad BH perpendicularis est, etiam KM ad $N\Xi$ perpendicularis est [Eucl. XI, 10]; quare $NM \times M\Xi = KM^2$. uerum $\Delta M \times ME = KM^2$; supposuimus enim, lineam $\Delta KE\Lambda$ circulum esse et ΔE eius diametrum. itaque $NM \times M\Xi = \Delta M \times ME$. quare $MN : M\Delta = EM : M\Xi$. itaque $\triangle\, \Delta MN \backsim \triangle\, \Xi ME$ et $\angle\, \Delta NM = \angle\, ME\Xi$. est autem $\angle\, \Delta NM = \angle\, AB\Gamma$; nam $N\Xi$ rectae $B\Gamma$ parallela est. quare etiam



ἀλλὰ ἡ ὑπὸ ΔΝΜ γωνία τῇ ὑπὸ ΑΒΓ ἐστιν ἴση· παράλληλος γὰρ ἡ ΝΞ τῇ ΒΓ· καὶ ἡ ὑπὸ ΑΒΓ ἄρα ἴση ἐστὶ τῇ ὑπὸ ΜΕΞ. ὑπεναντία ἄρα ἐστὶν ἡ τομή· ὅπερ οὐχ ὑπόκειται. οὐκ ἄρα κύκλος ἐστὶν ἡ ΔΚΕ γραμμή.

ι΄.

Ἐὰν ἐπὶ κώνου τομῆς ληφθῇ δύο σημεῖα, ἡ μὲν ἐπὶ τὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τῆς τομῆς, ἡ δὲ ἐπ᾽ εὐθείας αὐτῇ ἐκτός.

ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον. τετμήσθω δὴ καὶ ἑτέρῳ ἐπιπέδῳ, καὶ ποιείτω τομὴν ἐν τῇ τοῦ κώνου ἐπιφανείᾳ τὴν ΔΕΖ γραμμήν, καὶ εἰλήφθω ἐπὶ τῆς ΔΕΖ δύο σημεῖα τὰ Η, Θ. λέγω, ὅτι ἡ μὲν ἐπὶ τὰ Η, Θ ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τῆς ΔΕΖ γραμμῆς, ἡ δὲ ἐπ᾽ εὐθείας αὐτῇ ἐκτός.

ἐπεὶ γὰρ κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, τέτμηται ἐπιπέδῳ διὰ τοῦ ἄξονος, εἴληπται δέ τινα σημεῖα ἐπὶ τῆς ἐπιφανείας αὐτοῦ τὰ Η, Θ, ἃ μή ἐστιν ἐπὶ τῆς πλευρᾶς τοῦ διὰ τοῦ ἄξονος τριγώνου, καὶ ἡ ἀπὸ τοῦ Η ἐπὶ τὸ Θ ἐπιζευγνυμένη εὐθεῖα μὴ νεύῃ ἐπὶ τὸ Α, ἡ ἄρα ἐπὶ τὰ Η, Θ ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τοῦ κώνου καὶ ἡ ἐπ᾽ εὐθείᾳ αὐτῇ ἐκτός· ὥστε καὶ τῆς ΔΖΕ τομῆς.

ια΄.

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου


15. τά] (pr.) cp, corr. ex τῇ m. 2 V. 16. ΔΕΖ] p, ΔΖ V. 22. τριγώνου] τοῦ τριγώνου V; corr. p. 23. μή] c, supra scr. m. 2 V, οὐ p.

$\angle AB\Gamma = \angle ME\Xi$. itaque sectio e contrario est [prop. V]; quod contra hypothesim est. ergo linea ΔKE circulus non est.

X.

Si in sectione coni duo puncta sumuntur, recta ad puncta ducta intra sectionem cadit, in directum autem producta extra.

sit conus, cuius uertex sit A punctum, basis autem circulus $B\Gamma$, et per axem plano secetur, quod sectionem efficiat $AB\Gamma$ triangulum. iam alio quoque plano secetur, quod in superficie coni sectionem efficiat lineam ΔEZ, et in ΔEZ duo puncta sumantur H, Θ. dico, rectam ad H, Θ ductam intra lineam ΔEZ cadere, in directum autem productam extra.



nam quoniam conus, cuius uertex est A punctum, basis autem circulus $B\Gamma$, plano per axem sectus est, et in superficie eius sumpta sunt puncta quaedam H, Θ, quae in latere trianguli per axem positi non sunt, et recta ab H ad Θ ducta ad A non cadit, recta ad H, Θ ducta intra conum cadet, in directum autem producta extra [prop. II]. ergo etiam intra sectionem ΔZE, producta autem extra eam.

XI.

Si conus per axem plano secatur et alio quoque plano secatur, quod basim coni secundum rectam ad

κατ' εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ἔτι δὲ ἡ διάμετρος τῆς τομῆς παράλληλος ᾖ μιᾷ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ἥτις ἂν ἀπὸ τῆς τομῆς τοῦ κώνου παράλληλος ἀχθῇ τῇ κοινῇ τομῇ τοῦ τέμνοντος ἐπιπέδου καὶ τῆς βάσεως τοῦ κώνου μέχρι τῆς διαμέτρου τῆς τομῆς, δυνήσεται τὸ περιεχόμενον ὑπό τε τῆς ἀπολαμβανομένης ὑπ' αὐτῆς ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τῆς τομῆς καὶ ἄλλης τινὸς εὐθείας, ἣ λόγον ἔχει πρὸς τὴν μεταξὺ τῆς τοῦ κώνου γωνίας καὶ τῆς κορυφῆς τῆς τομῆς, ὃν τὸ τετράγωνον τὸ ἀπὸ τῆς βάσεως τοῦ διὰ τοῦ ἄξονος τριγώνου πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν λοιπῶν τοῦ τριγώνου δύο πλευρῶν· καλείσθω δὲ ἡ τοιαύτη τομὴ παραβολή.

ἔστω κῶνος, οὗ τὸ A σημεῖον κορυφή, βάσις δὲ ὁ $B\Gamma$ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ $AB\Gamma$ τρίγωνον, τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ' εὐθεῖαν τὴν ΔE πρὸς ὀρθὰς οὖσαν τῇ $B\Gamma$, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὴν ΔZE, ἡ δὲ διάμετρος τῆς τομῆς ἡ ZH παράλληλος ἔστω μιᾷ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου τῇ $A\Gamma$, καὶ ἀπὸ τοῦ Z σημείου τῇ ZH εὐθείᾳ πρὸς ὀρθὰς ἤχθω ἡ $Z\Theta$, καὶ πεποιήσθω, ὡς τὸ ἀπὸ $B\Gamma$ πρὸς τὸ ὑπὸ $BA\Gamma$, οὕτως ἡ $Z\Theta$ πρὸς ZA, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τυχὸν τὸ K, καὶ διὰ τοῦ K τῇ ΔE παράλληλος ἡ $K\Lambda$. λέγω, ὅτι τὸ ἀπὸ τῆς $K\Lambda$ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν $\Theta Z\Lambda$.


ἤχθω γὰρ διὰ τοῦ Λ τῇ $B\Gamma$ παράλληλος ἡ MN· ἔστι δὲ καὶ ἡ $K\Lambda$ τῇ ΔE παράλληλος· τὸ ἄρα διὰ

---

14. Mg. m. rec. .....ολ' ... V. 24. πεποιήσθω] cp; πεποιείσθω V, corr. m. 2.

basim trianguli per axem positi perpendicularem secat, et si praeterea diametrus sectionis lateri alterutri trianguli per axem positi parallela est, quaelibet recta, quae a sectione coni parallela ducitur communi sectioni plani secantis basisque coni, usque ad diametrum sumpta quadrata aequalis erit rectangulo comprehenso recta ex diametro ab ea ad uerticem abscisa sectionis aliaque quadam recta, quae ad rectam inter angulum coni uerticemque sectionis positam rationem habet, quam quadratum basis trianguli per axem positi ad rectangulum reliquis duobus lateribus trianguli comprehensum; uocetur autem talis sectio parabola.

sit conus, cuius uertex sit A punctum, basis autem $B\Gamma$ circulus, et per axem plano secetur, quod sectionem efficiat triangulum $AB\Gamma$, secetur autem alio quoque plano, quod basim coni secundum rectam ΔE secat ad $B\Gamma$ perpendicularem et in superficie coni sectionem efficit ΔZE, diametrus autem sectionis ZH parallela sit $A\Gamma$ lateri trianguli per axem positi, et a puncto Z ad rectam ZH perpendicularis ducatur $Z\Theta$, et fiat $B\Gamma^2 : BA \times A\Gamma = Z\Theta : ZA$, et in sectione punctum quodlibet K sumatur, et per K rectae ΔE parallela ducatur $K\Lambda$. dico, esse



$$K\Lambda^2 = \Theta Z \times Z\Lambda.$$

ducatur enim per Λ rectae $B\Gamma$ parallela MN. uerum etiam $K\Lambda$ rectae ΔE parallela est. itaque planum recta-

τῶν ΚΛ, ΜΝ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ΒΓ, ΔΕ ἐπιπέδῳ, τουτέστι τῇ βάσει τοῦ κώνου. τὸ ἄρα διὰ τῶν ΚΛ, ΜΝ ἐπίπεδον κύκλος ἐστίν, οὗ διάμετρος ἡ ΜΝ. καὶ ἔστι κάθετος ἐπὶ τὴν ΜΝ ἡ ΚΛ, ἐπεὶ καὶ ἡ ΔΕ ἐπὶ τὴν ΒΓ· τὸ ἄρα ὑπὸ τῶν ΜΛΝ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΚΛ. καὶ ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ τῆς ΒΓ πρὸς τὸ ὑπὸ τῶν ΒΑΓ, οὕτως ἡ ΘΖ πρὸς ΖΑ, τὸ δὲ ἀπὸ τῆς ΒΓ πρὸς τὸ ὑπὸ τῶν ΒΑΓ λόγον ἔχει τὸν συγκείμενον ἔκ τε τοῦ, ὃν ἔχει ἡ ΒΓ πρὸς ΓΑ καὶ ἡ ΒΓ πρὸς ΒΑ, ὁ ἄρα τῆς ΘΖ πρὸς ΖΑ λόγος σύγκειται ἐκ τοῦ τῆς ΒΓ πρὸς ΓΑ καὶ τοῦ τῆς ΓΒ πρὸς ΒΑ. ἀλλ᾽ ὡς μὲν ἡ ΒΓ πρὸς ΓΑ, οὕτως ἡ ΜΝ πρὸς ΝΑ, τουτέστιν ἡ ΜΛ πρὸς ΛΖ, ὡς δὲ ἡ ΒΓ πρὸς ΒΑ, οὕτως ἡ ΜΝ πρὸς ΜΑ, τουτέστιν ἡ ΛΜ πρὸς ΜΖ, καὶ λοιπὴ ἡ ΝΛ πρὸς ΖΑ. ὁ ἄρα τῆς ΘΖ πρὸς ΖΑ λόγος σύγκειται ἐκ τοῦ τῆς ΜΛ πρὸς ΛΖ καὶ τοῦ τῆς ΝΛ πρὸς ΖΑ. ὁ δὲ συγκείμενος λόγος ἐκ τοῦ τῆς ΜΛ πρὸς ΛΖ καὶ τοῦ τῆς ΛΝ πρὸς ΖΑ ὁ τοῦ ὑπὸ ΜΛΝ ἐστι πρὸς τὸ ὑπὸ ΛΖΑ. ὡς ἄρα ἡ ΘΖ πρὸς ΖΑ, οὕτως τὸ ὑπὸ ΜΛΝ πρὸς τὸ ὑπὸ ΛΖΑ. ὡς δὲ ἡ ΘΖ πρὸς ΖΑ, τῆς ΖΑ κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ ΘΖΑ πρὸς τὸ ὑπὸ ΛΖΑ· ὡς ἄρα τὸ ὑπὸ ΜΛΝ πρὸς τὸ ὑπὸ ΛΖΑ, οὕτως τὸ ὑπὸ ΘΖΛ πρὸς τὸ ὑπὸ ΛΖΑ. ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ ΜΛΝ τῷ ὑπὸ ΘΖΛ. τὸ δὲ ὑπὸ ΜΛΝ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΚΛ· καὶ τὸ ἀπὸ τῆς ΚΛ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΘΖΛ.

1. παράλληλον — 3. ἐπίπεδον] bis V (in repetitione τῷ διά lin. 1 bis), corr. m. 2. 13. ΝΑ] cvp et e corr. (et m. 2 et m. rec.) V. 14. ΜΑ] p, Μ corr. ex Ν m. 2 V. 15. ἡ] cp, m. 2 V. 18. τοῦ] (alt.) om. V, corr. Halley. 23. οὕτως — 24. ΛΖΑ] om. V, corr. Memus. 25. ΘΖΛ] ΘΛΖ V, corr. p (τῶν ΘΖ, ΖΛ).

rum $K\Lambda$, MN plano rectarum $B\Gamma$, ΔE parallelum est [Eucl. XI, 15], hoc est basi coni. quare planum rectarum $K\Lambda$, MN circulus est, cuius diametrus est MN [prop. IV]. et $K\Lambda$ ad MN perpendicularis est, quia etiam ΔE ad $B\Gamma$ perpendicularis [Eucl. XI, 10]; quare $M\Lambda \times \Lambda N = K\Lambda^2$. et quoniam est

$$B\Gamma^2 : B\Lambda \times \Lambda\Gamma = \Theta Z : Z\Lambda,$$

et est

$$B\Gamma^2 : B\Lambda \times \Lambda\Gamma = (B\Gamma : \Gamma\Lambda) \times (B\Gamma : B\Lambda),$$

erit

$$\Theta Z : Z\Lambda = (B\Gamma : \Gamma\Lambda) \times (\Gamma B : B\Lambda).$$

uerum

$$B\Gamma : \Gamma\Lambda = MN : N\Lambda = M\Lambda : \Lambda Z \text{ [Eucl. VI, 4]}$$

et

$$B\Gamma : B\Lambda = MN : M\Lambda = \Lambda M : MZ \text{ [ib.]} = N\Lambda : Z\Lambda$$

[Eucl. VI, 2]. quare

$$\Theta Z : Z\Lambda = (M\Lambda : \Lambda Z) \times (N\Lambda : Z\Lambda).$$

est autem

$$(M\Lambda : \Lambda Z) \times (\Lambda N : Z\Lambda) = M\Lambda \times \Lambda N : \Lambda Z \times Z\Lambda.$$

quare

$$\Theta Z : Z\Lambda = M\Lambda \times \Lambda N : \Lambda Z \times Z\Lambda.$$

est autem $Z\Lambda$ communi altitudine sumpta

$$\Theta Z : Z\Lambda = \Theta Z \times Z\Lambda : \Lambda Z \times Z\Lambda.$$

itaque

$$M\Lambda \times \Lambda N : \Lambda Z \times Z\Lambda = \Theta Z \times Z\Lambda : \Lambda Z \times Z\Lambda.$$

itaque

$$M\Lambda \times \Lambda N = \Theta Z \times Z\Lambda \text{ [Eucl. V, 9].}$$

uerum $M\Lambda \times \Lambda N = K\Lambda^2$. quare etiam

$$K\Lambda^2 = \Theta Z \times Z\Lambda.$$

καλείσθω δὲ ἡ μὲν τοιαύτη τομὴ παραβολή, ἡ δὲ ΘΖ παρ' ἣν δύνανται αἱ καταγόμεναι τεταγμένως ἐπὶ τὴν ΖΗ διάμετρον, καλείσθω δὲ καὶ ὀρθία.

ιβ΄.

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ' εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου, καὶ ἡ διάμετρος τῆς τομῆς ἐκβαλλομένη συμπίπτῃ μιᾷ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἐκτὸς τῆς τοῦ κώνου κορυφῆς, ἥτις ἂν ἀπὸ τῆς τομῆς ἀχθῇ παράλληλος τῇ κοινῇ τομῇ τοῦ τέμνοντος ἐπιπέδου καὶ τῆς βάσεως τοῦ κώνου, ἕως τῆς διαμέτρου τῆς τομῆς δυνήσεταί τι χωρίον παρακείμενον παρά τινα εὐθεῖαν, πρὸς ἣν λόγον ἔχει ἡ ἐπ' εὐθείας μὲν οὖσα τῇ διαμέτρῳ τῆς τομῆς, ὑποτείνουσα δὲ τὴν ἐκτὸς τοῦ τριγώνου γωνίαν, ὃν τὸ τετράγωνον τὸ ἀπὸ τῆς ἠγμένης ἀπὸ τῆς κορυφῆς τοῦ κώνου παρὰ τὴν διάμετρον τῆς τομῆς ἕως τῆς βάσεως τοῦ τριγώνου πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν τῆς βάσεως τμημάτων, ὧν ποιεῖ ἡ ἀχθεῖσα, πλάτος ἔχον τὴν ἀπολαμβανομένην ὑπ' αὐτῆς ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τῆς τομῆς, ὑπερβάλλον εἴδει ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ περιεχομένῳ ὑπό τε τῆς ὑποτεινούσης τὴν ἐκτὸς γωνίαν τοῦ τριγώνου καὶ τῆς παρ' ἣν δύνανται αἱ καταγόμεναι· καλείσθω δὲ ἡ τοιαύτη τομὴ ὑ π ε ρ β ο λ ή.

ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ

4. *ιβ΄*] p, om. V, m. 2 v. 15. *εὐθείας*] comp. V. *μένουσα* V, corr. Command.

uocetur autem talis sectio parabola, ΘZ autem recta parametrus rectarum ad ZH diametrum ordinate ductarum, uocetur autem etiam latus rectum.

XII.

Si conus per axem plano secatur, secatur autem alio quoque plano, quod basim coni secundum rectam secat ad basim trianguli per axem positi perpendicularem, et diametrus sectionis producta cum latere aliquo trianguli per axem positi extra uerticem coni concurrit, quaelibet recta, quae a sectione ducitur parallela communi sectioni plani secantis basisque coni, ad diametrum sectionis sumpta quadrata aequalis erit spatio cuidam rectae adplicato, ad quam recta in producta diametro sectionis posita, subtendens autem sub angulo trianguli extrinsecus posito, rationem habet, quam quadratum rectae a uertice coni ad basim trianguli diametro sectionis parallelae ductae ad rectangulum comprehensum partibus basis, quas efficit recta ducta, latitudinem habens rectam ab ea ex diametro ad uerticem sectionis abscisam, excedens figura simili similiterque posita rectangulo comprehenso recta sub angulo trianguli extrinsecus posito subtendenti parametroque; uocetur autem talis sectio hyperbola.

sit conus, cuius uertex sit A punctum, basis autem circulus $B\Gamma$, et per axem plano secetur, quod sectionem efficiat $AB\Gamma$ triangulum, secetur autem alio quoque plano basim coni secanti secundum rectam ΔE ad $B\Gamma$ basim trianguli $AB\Gamma$ perpendicularem, et in superficie coni sectionem efficiat lineam ΔZE, diametrus autem sectionis ZH producta cum $A\Gamma$ latere trianguli


ἄξονος, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον, τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ᾽ εὐθεῖαν τὴν ΔΕ πρὸς ὀρθὰς οὖσαν τῇ ΒΓ βάσει τοῦ ΑΒΓ τριγώνου, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὴν ΔΖΕ γραμμήν, ἡ δὲ διάμετρος τῆς τομῆς ἡ ΖΗ ἐκβαλλομένη συμπιπτέτω μιᾷ πλευρᾷ τοῦ ΑΒΓ τριγώνου τῇ ΑΓ ἐκτὸς τῆς τοῦ κώνου κορυφῆς κατα τὸ Θ, καὶ διὰ τοῦ Α τῇ διαμέτρῳ τῆς τομῆς τῇ ΖΗ παράλληλος ἤχθω ἡ ΑΚ, καὶ τεμνέτω τὴν ΒΓ, καὶ ἀπὸ τοῦ Ζ τῇ ΖΗ πρὸς ὀρθὰς ἤχθω ἡ ΖΛ, καὶ πεποιήσθω, ὡς τὸ ἀπὸ ΚΑ πρὸς τὸ ὑπὸ ΒΚΓ, οὕτως ἡ ΖΘ πρὸς ΖΛ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τυχὸν τὸ Μ, καὶ διὰ τοῦ Μ τῇ ΔΕ παράλληλος ἤχθω ἡ ΜΝ, διὰ δὲ τοῦ Ν τῇ ΖΛ παράλληλος ἡ ΝΟΞ, καὶ ἐπιζευχθεῖσα ἡ ΘΛ ἐκβεβλήσθω ἐπὶ τὸ Ξ, καὶ διὰ τῶν Λ, Ξ τῇ ΖΝ παράλληλοι ἤχθωσαν αἱ ΛΟ, ΞΠ. λέγω, ὅτι ἡ ΜΝ δύναται τὸ ΖΞ, ὃ παράκειται παρὰ τὴν ΖΛ πλάτος ἔχον τὴν ΖΝ ὑπερβάλλον εἴδει τῷ ΛΞ ὁμοίῳ ὄντι τῷ ὑπὸ τῶν ΘΖΛ.

ἤχθω γὰρ διὰ τοῦ Ν τῇ ΒΓ παράλληλος ἡ ΡΝΣ· ἔστι δὲ καὶ ἡ ΝΜ τῇ ΔΕ παράλληλος· τὸ ἄρα διὰ τῶν ΜΝ, ΡΣ ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ΒΓ, ΔΕ, τουτέστι τῇ βάσει τοῦ κώνου. ἐὰν ἄρα ἐκβληθῇ τὸ διὰ τῶν ΜΝ, ΡΣ ἐπίπεδον, ἡ τομὴ κύκλος ἔσται, οὗ διάμετρος ἡ ΡΝΣ. καὶ ἔστιν ἐπ᾽ αὐτὴν κάθετος ἡ ΜΝ· τὸ ἄρα ὑπὸ τῶν ΡΝΣ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΜΝ. καὶ ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ ΑΚ πρὸς τὸ ὑπὸ ΒΚΓ, οὕτως ἡ ΖΘ πρὸς ΖΛ, ὁ δὲ τοῦ

---

2. Ante τέμνοντι del. διὰ τοῦ ἄξονος m. 1 V. 11. πεποιείσθω V, corr. p. ΚΑ] p, ΚΛ V, corr. m. 2 v. 15. ΝΟΞ] p; ΟΞ corr. ex ΩΞ post ras. unius litt. V, ΩΞ supra scr. Ν m. 2 v.

$AB\Gamma$ extra uerticem coni concurrat in Θ, et per A diametro sectionis ZH parallela ducatur AK secetque $B\Gamma$, et a Z ad ZH perpendicularis ducatur $Z\Lambda$, fiatque



$$KA^2 : BK \times K\Gamma = Z\Theta : Z\Lambda,$$

et in sectione sumatur punctum aliquod M, et per M rectae ΔE parallela ducatur MN, per N autem rectae $Z\Lambda$ parallela $NO\Xi$, et ducta $\Theta\Lambda$ producatur ad Ξ, et per puncta Λ, Ξ rectae ZN parallelae ducantur ΛO, $\Xi\Pi$. dico, esse $MN^2 = Z\Xi$, quod rectae $Z\Lambda$ adplicatum est latitudinem habens ZN et excedens figura $\Lambda\Xi$ simili rectangulo $\Theta Z \times Z\Lambda$ [Eucl. I, 26].

ducatur enim per N rectae $B\Gamma$ parallela $PN\Sigma$; est autem etiam NM rectae ΔE parallela; quare planum rectarum MN, $P\Sigma$ plano rectarum $B\Gamma$, ΔE parallelum est [Eucl. XI, 15], hoc est basi coni. itaque ducto plano rectarum MN, $P\Sigma$ sectio circulus erit, cuius diametrus est $PN\Sigma$ [prop. IV]. et ad eam perpendicularis est MN. itaque $PN \times N\Sigma = MN^2$. et quoniam est

$$AK^2 : BK \times K\Gamma = Z\Theta : Z\Lambda,$$

et est

$$AK^2 : BK \times K\Gamma = (AK : K\Gamma) \times (AK : KB),$$

erit etiam

$$Z\Theta : Z\Lambda = (AK : K\Gamma) \times (AK : KB).$$

est autem

$$AK : K\Gamma = \Theta H : H\Gamma = \Theta N : N\Sigma \text{ [Eucl. VI, 4]}$$

ἀπὸ τῆς *ΑΚ* πρὸς τὸ ὑπὸ *ΒΚΓ* λόγος σύγκειται ἔκ τε τοῦ, ὃν ἔχει ἡ *ΑΚ* πρὸς *ΚΓ* καὶ ἡ *ΑΚ* πρὸς *ΚΒ*, καὶ ὁ τῆς *ΖΘ* ἄρα πρὸς τὴν *ΖΛ* λόγος σύγκειται ἐκ τοῦ, ὃν ἔχει ἡ *ΑΚ* πρὸς *ΚΓ* καὶ ἡ *ΑΚ* πρὸς *ΚΒ*. ἀλλ᾽ ὡς μὲν ἡ *ΑΚ* πρὸς *ΚΓ*, οὕτως ἡ *ΘΗ* πρὸς *ΗΓ*, τουτέστιν ἡ *ΘΝ* πρὸς *ΝΣ*, ὡς δὲ ἡ *ΑΚ* πρὸς *ΚΒ*, οὕτως ἡ *ΖΗ* πρὸς *ΗΒ*, τουτέστιν ἡ *ΖΝ* πρὸς *ΝΡ*. ὁ ἄρα τῆς *ΘΖ* πρὸς *ΖΛ* λόγος σύγκειται ἔκ τε τοῦ τῆς *ΘΝ* πρὸς *ΝΣ* καὶ τοῦ τῆς *ΖΝ* πρὸς *ΝΡ*. ὁ δὲ συγκείμενος λόγος ἐκ τοῦ τῆς *ΘΝ* πρὸς *ΝΣ* καὶ τοῦ τῆς *ΖΝ* πρὸς *ΝΡ* ὁ τοῦ ὑπὸ τῶν *ΘΝΖ* ἐστι πρὸς τὸ ὑπὸ τῶν *ΣΝΡ*· καὶ ὡς ἄρα τὸ ὑπὸ τῶν *ΘΝΖ* πρὸς τὸ ὑπὸ τῶν *ΣΝΡ*, οὕτως ἡ *ΘΖ* πρὸς *ΖΛ*, τουτέστιν ἡ *ΘΝ* πρὸς *ΝΞ*. ἀλλ᾽ ὡς ἡ *ΘΝ* πρὸς *ΝΞ*, τῆς *ΖΝ* κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ τῶν *ΘΝΖ* πρὸς τὸ ὑπὸ τῶν *ΖΝΞ*. καὶ ὡς ἄρα τὸ ὑπὸ τῶν *ΘΝΖ* πρὸς τὸ ὑπὸ τῶν *ΣΝΡ*, οὕτως τὸ ὑπὸ τῶν *ΘΝΖ* πρὸς τὸ ὑπὸ τῶν *ΞΝΖ*. τὸ ἄρα ὑπὸ *ΣΝΡ* ἴσον ἐστὶ τῷ ὑπὸ *ΞΝΖ*. τὸ δὲ ἀπὸ *ΜΝ* ἴσον ἐδείχθη τῷ ὑπὸ *ΣΝΡ*· καὶ τὸ ἀπὸ τῆς *ΜΝ* ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ τῶν *ΞΝΖ*. τὸ δὲ ὑπὸ *ΞΝΖ* ἐστι τὸ *ΞΖ* παραλληλόγραμμον. ἡ ἄρα *ΜΝ* δύναται τὸ *ΞΖ*, ὃ παράκειται παρὰ τὴν *ΖΛ* πλάτος ἔχον τὴν *ΖΝ* ὑπερβάλλον τῷ *ΛΞ* ὁμοίῳ ὄντι τῷ ὑπὸ τῶν *ΘΖΛ*. καλείσθω δὲ ἡ μὲν τοιαύτη τομὴ ὑπερβολή, ἡ δὲ *ΛΖ* παρ᾽ ἣν δύνανται αἱ ἐπὶ τὴν *ΖΗ* καταγόμεναι τεταγμένως· καλείσθω δὲ ἡ αὐτὴ καὶ ὀρθία, πλαγία δὲ ἡ *ΖΘ*.

---

10. τοῦ] (alt.) p, om. V. 11. *ΝΡ*] *ΗΡ* V; corr. p. 17. *ΣΝΡ* — 18. τῶν (alt.)] om. V; ego addidi praeeunte Commandino; *ΖΝ*, *ΝΞ*, οὕτω τὸ ὑπὸ τῶν *ΘΝ*, *ΝΖ* πρὸς τὸ ὑπὸ τῶν *ΡΝ*, *ΝΣ* p. 26. δύναται V; corr. p.

et

$$AK : KB = ZH : HB = ZN : NP \text{ [ib.]}.$$

itaque

$$\Theta Z : Z\Lambda = (\Theta N : N\Sigma) \times (ZN : NP).$$

est autem

$$(\Theta N : N\Sigma) \times (ZN : NP) = \Theta N \times NZ : \Sigma N \times NP.$$

quare

$$\Theta N \times NZ : \Sigma N \times NP = \Theta Z : Z\Lambda = \Theta N : N\Xi \text{ [ib.]}.$$

sumpta autem communi altitudine ZN est

$$\Theta N : N\Xi = \Theta N \times NZ : ZN \times N\Xi.$$

quare etiam

$$\Theta N \times NZ : \Sigma N \times NP = \Theta N \times NZ : \Xi N \times NZ.$$

itaque

$$\Sigma N \times NP = \Xi N \times NZ \text{ [Eucl. V, 9]}.$$

demonstrauimus autem, esse

$$MN^2 = \Sigma N \times NP.$$

itaque etiam

$$MN^2 = \Xi N \times NZ.$$

uerum

$$\Xi N \times NZ = \Xi Z.$$

ergo MN quadrata aequalis est rectangulo ΞZ, quod rectae $Z\Lambda$ adplicatum est latitudinem habens ZN et excedens spatio $\Lambda\Xi$ simili rectangulo $\Theta Z\Lambda$. uocetur autem talis sectio hyperbola, ΛZ autem parametrus rectarum ad ZH ordinate ductarum; uocetur autem eadem latus rectum, transuersum uero $Z\Theta$.

ιγ'.

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ συμπίπτοντι μὲν ἑκατέρᾳ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, μήτε δὲ παρὰ τὴν βάσιν τοῦ κώνου ἠγμένῳ μήτε ὑπεναντίως, τὸ δὲ ἐπίπεδον, ἐν ᾧ ἐστιν ἡ βάσις τοῦ κώνου, καὶ τὸ τέμνον ἐπίπεδον συμπίπτῃ κατ' εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν ἤτοι τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἢ τῇ ἐπ' εὐθείας αὐτῇ, ἥτις ἂν ἀπὸ τῆς τομῆς τοῦ κώνου παράλληλος ἀχθῇ τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων ἕως τῆς διαμέτρου τῆς τομῆς, δυνήσεταί τι χωρίον παρακείμενον παρά τινα εὐθεῖαν, πρὸς ἣν λόγον ἔχει ἡ διάμετρος τῆς τομῆς, ὃν τὸ τετράγωνον τὸ ἀπὸ τῆς ἠγμένης ἀπὸ τῆς κορυφῆς τοῦ κώνου παρὰ τὴν διάμετρον τῆς τομῆς ἕως τῆς βάσεως τοῦ τριγώνου πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν ἀπολαμβανομένων ὑπ' αὐτῆς πρὸς ταῖς τοῦ τριγώνου εὐθείαις πλάτος ἔχον τὴν ἀπολαμβανομένην ὑπ' αὐτῆς ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τῆς τομῆς ἐλλεῖπον εἴδει ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ περιεχομένῳ ὑπό τε τῆς διαμέτρου καὶ τῆς παρ' ἣν δύνανται· καλείσθω δὲ ἡ τοιαύτη τομὴ ἔλλειψις.

ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ A σημεῖον, βάσις δὲ ὁ $B\Gamma$ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ $AB\Gamma$ τρίγωνον, τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ συμπίπτοντι μὲν ἑκατέρᾳ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, μήτε δὲ παραλλήλῳ τῇ βάσει τοῦ κώνου μήτε ὑπεναντίως ἠγμένῳ, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὴν ΔE γραμμήν·

1. ιγ'] om. V, m. 2 v. 13. τετράγωνον] cv; τε- euan. V, τετρα- rep. mg. m. rec. 16. εὐθείαις] V, γωνίαις cvp. 20. δύναται V; corr. Memus.

XIII.

Si conus per axem plano secatur, secatur autem alio quoque plano, quod cum utroque latere trianguli per axem positi concurrit, sed neque basi coni parallelum ducitur neque e contrario, et si planum, in quo est basis coni, planumque secans concurrunt in recta perpendiculari aut ad basim trianguli per axem positi aut ad eam productam, quaelibet recta, quae a sectione coni communi sectioni planorum parallela ducitur, ad diametrum sectionis sumpta quadrata aequalis erit spatio adplicato rectae cuidam, ad quam diametrus sectionis rationem habet, quam habet quadratum rectae a uertice coni diametro sectionis parallelae ductae usque ad basim trianguli ad rectangulum comprehensum rectis ab ea ad latera trianguli abscisis, latitudinem habens rectam ab ea e diametro ad uerticem sectionis abscisam et figura deficiens simili similiterque posita rectangulo a diametro parametroque comprehenso; uocetur autem talis sectio ellipsis.


sit conus, cuius uertex sit A punctum, basis autem $B\Gamma$ circulus, et per axem plano secetur, quod sectionem efficiat triangulum $AB\Gamma$, secetur autem alio quoque plano, quod cum utroque latere trianguli per axem positi concurrat, sed neque basi coni parallelum neque e contrario ductum sit, et in superficie coni sectionem efficiat lineam ΔE; communis autem sectio plani secantis eiusque plani, in quo est basis coni, sit ZH ad $B\Gamma$ perpendicularis, diametrus autem sectionis sit $E\Delta$, et ab E ad $E\Delta$ perpendicularis ducatur $E\Theta$, per A autem rectae $E\Delta$ parallela ducatur AK, et fiat

κοινὴ δὲ τομὴ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ, ἐν ᾧ ἐστιν ἡ βάσις τοῦ κώνου, ἔστω ἡ ZH πρὸς ὀρθὰς οὖσα τῇ $B\Gamma$, ἡ δὲ διάμετρος τῆς τομῆς ἔστω ἡ $E\Delta$, καὶ ἀπὸ τοῦ E τῇ $E\Delta$ πρὸς ὀρθὰς ἤχθω ἡ $E\Theta$, καὶ διὰ τοῦ A τῇ $E\Delta$ παράλληλος ἤχθω ἡ AK, καὶ πεποιήσθω ὡς τὸ ἀπὸ AK πρὸς τὸ ὑπὸ $BK\Gamma$, οὕτως ἡ ΔE πρὸς τὴν $E\Theta$, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Λ, καὶ διὰ τοῦ Λ τῇ ZH παράλληλος ἤχθω ἡ ΛM. λέγω, ὅτι ἡ ΛM δύναταί τι χωρίον, ὃ παράκειται παρὰ τὴν $E\Theta$ πλάτος ἔχον τὴν EM ἐλλεῖπον εἴδει ὁμοίῳ τῷ ὑπὸ τῶν $\Delta E\Theta$.

ἐπεζεύχθω γὰρ ἡ $\Delta\Theta$, καὶ διὰ μὲν τοῦ M τῇ ΘE παράλληλος ἤχθω ἡ $M\Xi N$, διὰ δὲ τῶν Θ, Ξ τῇ EM παράλληλοι ἤχθωσαν αἱ ΘN, ΞO, καὶ διὰ τοῦ M τῇ $B\Gamma$ παράλληλος ἤχθω ἡ ΠMP. ἐπεὶ οὖν ἡ ΠP τῇ $B\Gamma$ παράλληλός ἐστιν, ἔστι δὲ καὶ ἡ ΛM τῇ ZH παράλληλος, τὸ ἄρα διὰ τῶν ΛM, ΠP ἐπίπεδον παράλληλόν ἐστι τῷ διὰ τῶν ZH, $B\Gamma$ ἐπιπέδῳ, τουτέστι τῇ βάσει τοῦ κώνου. ἐὰν ἄρα ἐκβληθῇ διὰ τῶν ΛM, ΠP ἐπίπεδον, ἡ τομὴ κύκλος ἔσται, οὗ διάμετρος ἡ ΠP. καί ἐστι κάθετος ἐπ' αὐτὴν ἡ ΛM· τὸ ἄρα ὑπὸ τῶν ΠMP ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΛM. καὶ ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ τῆς AK πρὸς τὸ ὑπὸ τῶν $BK\Gamma$, οὕτως ἡ $E\Delta$ πρὸς τὴν $E\Theta$, ὁ δὲ τοῦ ἀπὸ τῆς AK πρὸς τὸ ὑπὸ τῶν $BK\Gamma$ λόγος σύγκειται ἐκ τοῦ, ὃν ἔχει ἡ AK πρὸς KB, καὶ ἡ AK πρὸς $K\Gamma$, ἀλλ' ὡς μὲν ἡ AK πρὸς KB, οὕτως ἡ EH πρὸς HB, τουτέστιν ἡ EM πρὸς $M\Pi$, ὡς δὲ ἡ AK πρὸς $K\Gamma$, οὕτως ἡ ΔH πρὸς $H\Gamma$, τουτέστιν ἡ ΔM πρὸς MP, ὁ ἄρα τῆς ΔE πρὸς

4. $E\Theta$] e corr. m. 1 V. 6. πεποιείσθω V; corr. p. 13. $M\Xi N$] $MN\Xi$ V; corr. Command. 15. ἡ] (pr.) om. V; corr. p.

$\varDelta E : E\Theta = AK^2 : BK \times K\Gamma$, et in sectione sumatur punctum aliquod $\varLambda$, et per $\varLambda$ rectae ZH parallela ducatur $\varLambda M$. dico, $\varLambda M$ quadratam aequalem esse spatio rectae $E\Theta$ adplicato, quod latitudinem habeat EM et figura deficiat simili rectangulo $\varDelta E \times E\Theta$.



ducatur enim $\varDelta\Theta$, et per M rectae ΘE parallela ducatur $M\Xi N$, per Θ, Ξ autem rectae EM parallelae ducantur ΘN, ΞO, et per M rectae $B\Gamma$ parallela ducatur ΠMP. iam quoniam ΠP rectae $B\Gamma$ parallela est, et etiam $\varLambda M$ rectae ZH parallela, planum rectarum $\varLambda M$, ΠP plano rectarum ZH, $B\Gamma$ parallelum est [Eucl. XI, 15], hoc est basi coni. itaque si per $\varLambda M$, ΠP planum ducitur, sectio circulus erit, cuius diametrus erit ΠP [prop. IV]. et ad eam perpendicularis est $\varLambda M$; itaque erit $\varLambda M^2 = \Pi M \times MP$. et quoniam est

$$AK^2 : BK \times K\Gamma = E\varDelta : E\Theta,$$

et est

$$AK^2 : BK \times K\Gamma = (AK : KB) \times (AK : K\Gamma),$$

et est

$$AK : KB = EH : HB = EM : M\Pi \text{ [Eucl. VI, 4]},$$

$$AK : K\Gamma = \varDelta H : H\Gamma = \varDelta M : MP \text{ [ib.]},$$

τὴν ΕΘ λόγος σύγκειται ἔκ τε τοῦ τῆς ΕΜ πρὸς ΜΠ καὶ τοῦ τῆς ΔΜ πρὸς ΜΡ. ὁ δὲ συγκείμενος λόγος ἔκ τε τοῦ, ὃν ἔχει ἡ ΕΜ πρὸς ΜΠ, καὶ ἡ ΔΜ πρὸς ΜΡ, ὁ τοῦ ὑπὸ τῶν ΕΜΔ ἐστι πρὸς τὸ ὑπὸ τῶν ΠΜΡ. ἔστιν ἄρα ὡς τὸ ὑπὸ τῶν ΕΜΔ πρὸς τὸ ὑπὸ τῶν ΠΜΡ, οὕτως ἡ ΔΕ πρὸς τὴν ΕΘ, τουτέστιν ἡ ΔΜ πρὸς τὴν ΜΞ. ὡς δὲ ἡ ΔΜ πρὸς ΜΞ, τῆς ΜΕ κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ ΔΜΕ πρὸς τὸ ὑπὸ ΞΜΕ. καὶ ὡς ἄρα τὸ ὑπὸ ΔΜΕ πρὸς τὸ ὑπὸ ΠΜΡ, οὕτως τὸ ὑπὸ ΔΜΕ πρὸς τὸ ὑπὸ ΞΜΕ. ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ ΠΜΡ τῷ ὑπὸ ΞΜΕ. τὸ δὲ ὑπὸ ΠΜΡ ἴσον ἐδείχθη τῷ ἀπὸ τῆς ΛΜ· καὶ τὸ ὑπὸ ΞΜΕ ἄρα ἐστὶν ἴσον τῷ ἀπὸ τῆς ΛΜ. ἡ ΛΜ ἄρα δύναται τὸ ΜΟ, ὃ παράκειται παρὰ τὴν ΘΕ πλάτος ἔχον τὴν ΕΜ ἐλλεῖπον εἴδει τῷ ΟΝ ὁμοίῳ ὄντι τῷ ὑπὸ ΔΕΘ. καλείσθω δὲ ἡ μὲν τοιαύτη τομη ἔλλειψις, ἡ δὲ ΕΘ παρ' ἣν δύνανται αἱ καταγόμεναι ἐπὶ τὴν ΔΕ τεταγμένως, ἡ δὲ αὐτὴ καὶ ὀρθία, πλαγία δὲ ἡ ΕΔ.

ιδ'.

Ἐὰν αἱ κατὰ κορυφὴν ἐπιφάνειαι ἐπιπέδῳ τμηθῶσι μὴ διὰ τῆς κορυφῆς, ἔσται ἐν ἑκατέρᾳ τῶν ἐπιφανειῶν τομὴ ἡ καλουμένη ὑπερβολή, καὶ τῶν δύο τομῶν ἥ τε διάμετρος ἡ αὐτὴ ἔσται, καὶ παρ' ἃς δύνανται αἱ ἐπὶ τὴν διάμετρον καταγόμεναι παράλληλοι τῇ ἐν τῇ βάσει τοῦ κώνου εὐθείᾳ ἴσαι, καὶ τοῦ εἴδους ἡ πλαγία πλευρὰ κοινη ἡ μεταξὺ τῶν κορυφῶν τῶν τομῶν· καλείσθωσαν δὲ αἱ τοιαῦται τομαὶ ἀντικείμεναι.

---

4. ὁ τοῦ — 5. ΠΜΡ] bis V, corr. cp et m. 2 v. 20. ιδ'] p, om. V, m. 2 v. 25. ἐπί] παρά Vp; corr. Halley. 26. εὐθείᾳ] ego, εὐθεῖαι V.

erit

$$\Delta E : E\Theta = (EM : M\Pi) \times (\Delta M : MP).$$

est autem

$$(EM : M\Pi) \times (\Delta M : MP) = EM \times M\Delta : \Pi M \times MP.$$

itaque

$$EM \times M\Delta : \Pi M \times MP = \Delta E : E\Theta = \Delta M : M\Xi$$

[ib.]. sed sumpta communi altitudine ME est

$$\Delta M : M\Xi = \Delta M \times ME : \Xi M \times ME.$$

quare etiam

$$\Delta M \times ME : \Pi M \times MP = \Delta M \times ME : \Xi M \times ME.$$

itaque

$$\Pi M \times MP = \Xi M \times ME \text{ [Eucl. V, 9].}$$

demonstrauimus autem, esse

$$\Pi M \times MP = \Lambda M^2.$$

quare etiam $$\Xi M \times ME = \Lambda M^2.$$

ergo ΛM quadrata aequalis est spatio MO ad ΘE adplicato, quod latitudinem habet EM et spatio ON deficit simili rectangulo $\Delta E \times E\Theta$; uocetur autem talis sectio ellipsis, $E\Theta$ autem parametrus rectarum ad ΔE ordinate ductarum, eadem autem etiam latus rectum, transuersum uero $E\Delta$.

XIV.

Si superficies ad uerticem inter se positae plano secantur per uerticem non ducto, in utraque superficie sectio orietur hyperbola, quae uocatur, et ambarum sectionum diametrus eadem erit, et parametri rectarum ad diametrum rectae in basi coni positae parallelarum ductarum aequales, et transuersum figurae latus commune recta inter uertices sectionum posita; uocentur autem tales sectiones oppositae.

ἔστωσαν αἱ κατα κορυφὴν ἐπιφάνειαι, ὧν κορυφὴ τὸ Α σημεῖον, καὶ τετμήσθωσαν ἐπιπέδῳ μὴ διὰ τῆς κορυφῆς, καὶ ποιείτω ἐν τῇ ἐπιφανείᾳ τομὰς τὰς ΔΕΖ, ΗΘΚ. λέγω, ὅτι ἑκατέρα τῶν ΔΕΖ, ΗΘΚ τομῶν ἐστιν ἡ καλουμένη ὑπερβολή.


ἔστω γὰρ ὁ κύκλος, καθ' οὗ φέρεται ἡ τὴν ἐπιφάνειαν γράφουσα εὐθεῖα, ὁ ΒΔΓΖ, καὶ ἤχθω ἐν τῇ κατὰ κορυφην ἐπιφανείᾳ παράλληλον αὐτῷ ἐπίπεδον τὸ ΞΗΟΚ· κοιναὶ δὲ τομαὶ τῶν ΗΘΚ, ΖΕΔ τομῶν καὶ τῶν κύκλων αἱ ΖΔ, ΗΚ· ἔσονται δὴ παράλληλοι. ἄξων δὲ ἔστω τῆς κωνικῆς ἐπιφανείας ἡ ΛΑΥ εὐθεῖα, κέντρα δὲ τῶν κύκλων τὰ Λ, Υ, καὶ ἀπὸ τοῦ Λ ἐπὶ τὴν ΖΔ κάθετος ἀχθεῖσα ἐκβεβλήσθω ἐπὶ τὰ Β, Γ σημεῖα, καὶ διὰ τῆς ΒΓ καὶ τοῦ ἄξονος ἐπίπεδον ἐκβεβλήσθω· ποιήσει δὴ τομὰς ἐν μὲν τοῖς κύκλοις παραλλήλους εὐθείας τὰς ΞΟ, ΒΓ, ἐν δὲ τῇ ἐπιφανείᾳ τὰς ΒΑΟ, ΓΑΞ· ἔσται δὴ καὶ ἡ ΞΟ τῇ ΗΚ πρὸς ὀρθάς, ἐπειδὴ καὶ ἡ ΒΓ τῇ ΖΔ ἐστι πρὸς ὀρθάς, καί ἐστιν ἑκατέρα παράλληλος. καὶ ἐπεὶ τὸ διὰ τοῦ ἄξονος ἐπίπεδον ταῖς τομαῖς συμβάλλει κατὰ τὰ Μ, Ν σημεῖα ἐντὸς τῶν γραμμῶν, δῆλον, ὡς καὶ τὰς γραμμὰς τέμνει τὸ ἐπίπεδον. τεμνέτω κατὰ τὰ Θ, Ε· τὰ ἄρα Μ, Ε, Θ, Ν σημεῖα ἔν τε τῷ διὰ τοῦ ἄξονός ἐστιν ἐπιπέδῳ καὶ ἐν τῷ ἐπιπέδῳ, ἐν ᾧ εἰσιν αἱ γραμμαί· εὐθεῖα ἄρα ἐστὶν ἡ ΜΕΘΝ γραμμή. καὶ φανερόν, ὅτι τά τε Ξ, Θ, Α, Γ ἐπ' εὐθείας ἐστὶ καὶ τὰ Β, Ε, Α, Ο· ἔν τε γὰρ τῇ κωνικῇ ἐπιφανείᾳ ἐστὶ καὶ ἐν τῷ διὰ τοῦ ἄξονος ἐπιπέδῳ. ἤχθωσαν δὴ ἀπὸ μὲν τῶν Θ, Ε τῇ

---

3. ποιείτω] scripsi, ποιείτωσαν Vp. 9. ΖΕΔ, ΗΘΚ Halley cum Command. 20. συμβάλλει] συμ- contorte V, συμβ- rep. mg. m. rec.

sint superficies ad uerticem inter se positae, quarum uertex sit A punctum, et plano secentur per uerticem non posito, quod in superficie sectiones efficiat ΔEZ, $H\Theta K$. dico, utramque sectionem ΔEZ, $H\Theta K$ hyperbolam esse, quae uocatur.

sit enim $B\Delta\Gamma Z$ circulus, per quem recta superficiem describens fertur, et in superficie ad uerticem posita ei parallelum planum ducatur ΞHOK; communes autem sectiones sectionum $H\Theta K$, $ZE\Delta$ circulorumque [prop. IV] sunt $Z\Delta$, HK; parallelae igitur erunt [Eucl. XI, 16]. axis autem superficiei conicae sit recta $\Lambda A\Upsilon$, et centra circulorum Λ, Υ, et recta ab Λ ad $Z\Delta$ perpendicularis ducta ad puncta B, Γ producatur, et per $B\Gamma$ axemque planum ducatur; sectiones igitur efficiet in circulis rectas



parallelas [ib.] ΞO, $B\Gamma$, in superficie autem BAO, $\Gamma A\Xi$; erit igitur etiam ΞO ad HK perpendicularis, quoniam $B\Gamma$ ad $Z\Delta$ perpendicularis est et utraque utrique parallela [Eucl. XI, 10]. et quoniam planum per axem ductum cum sectionibus in punctis M, N concurrit intra lineas positis, adparet, idem planum lineas secare. secet in punctis Θ, E. itaque puncta M, E, Θ, N et in plano per axem ducto et in plano, in quo lineae, posita sunt; recta igitur est linea $ME\Theta N$ [Eucl. XI, 3]. et manifestum est, et Ξ, Θ, A, Γ in eadem recta esse et B, E, A, O; nam et in superficie conica sunt et in

ΘΕ πρὸς ὀρθὰς αἱ ΘΡ, ΕΠ, διὰ δὲ τοῦ Α τῇ ΜΕΘΝ παράλληλος ἤχθω ἡ ΣΑΤ, καὶ πεποιήσθω, ὡς μὲν τὸ ἀπὸ τῆς ΑΣ πρὸς τὸ ὑπὸ ΒΣΓ, οὕτως ἡ ΘΕ προς ΕΠ, ὡς δὲ τὸ ἀπὸ τῆς ΑΤ πρὸς τὸ ὑπὸ ΟΤΞ, οὕτως ἡ ΕΘ πρὸς ΘΡ. ἐπεὶ οὖν κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, τέτμηται ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ πεποίηκε τομὴν τὸ ΑΒΓ τρίγωνον, τέτμηται δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ' εὐθεῖαν τὴν ΔΜΖ πρὸς ὀρθὰς οὖσαν τῇ ΒΓ, καὶ πεποίηκε τομὴν ἐν τῇ ἐπιφανείᾳ τὴν ΔΕΖ, ἡ δὲ διάμετρος ἡ ΜΕ ἐκβαλλομένη συμπέπτωκε μιᾷ πλευρᾷ τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἐκτὸς τῆς κορυφῆς τοῦ κώνου, καὶ διὰ τοῦ Α σημείου τῇ διαμέτρῳ τῆς τομῆς τῇ ΕΜ παράλληλος ἦκται ἡ ΑΣ, καὶ ἀπὸ τοῦ Ε τῇ ΕΜ πρὸς ὀρθὰς ἦκται ἡ ΕΠ, καί ἐστιν ὡς τὸ ἀπὸ ΑΣ πρὸς τὸ ὑπὸ ΒΣΓ, οὕτως ἡ ΕΘ πρὸς ΕΠ, ἡ μὲν ΔΕΖ ἄρα τομὴ ὑπερβολή ἐστιν, ἡ δὲ ΕΠ παρ' ἣν δύνανται αἱ ἐπὶ τὴν ΕΜ καταγόμεναι τεταγμένως, πλαγία δὲ τοῦ εἴδους πλευρὰ ἡ ΘΕ. ὁμοίως δὲ καὶ ἡ ΗΘΚ ὑπερβολή ἐστιν, ἧς διάμετρος μὲν ἡ ΘΝ, ἡ δὲ ΘΡ παρ' ἣν δύνανται αἱ ἐπὶ τὴν ΘΝ καταγόμεναι τεταγμένως, πλαγία δὲ τοῦ εἴδους πλευρὰ ἡ ΘΕ.

λέγω, ὅτι ἴση ἐστὶν ἡ ΘΡ τῇ ΕΠ. ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ ΒΓ τῇ ΞΟ, ἔστιν ὡς ἡ ΑΣ πρὸς ΣΓ, οὕτως ἡ ΑΤ πρὸς ΤΞ, καὶ ὡς ἡ ΑΣ πρὸς ΣΒ, οὕτως ἡ ΑΤ πρὸς ΤΟ. ἀλλ' ὁ τῆς ΑΣ πρὸς ΣΓ λόγος μετὰ τοῦ τῆς ΑΣ πρὸς ΣΒ ὁ τοῦ ἀπὸ ΑΣ ἐστι πρὸς τὸ ὑπὸ ΒΣΓ, ὁ δὲ τῆς ΑΤ πρὸς ΤΞ μετὰ τοῦ τῆς

---

2. *πεποιείσθω* V; corr. p. 3. *ΒΣΓ*] *ΒΓΣ* V; corr. Memus. 16. *καί* — 17. *ΕΠ*] bis V; corr. cp. 16. *ΒΣΓ*] *ΒΓΣ* V

plano per axem ducto. ducantur igitur a Θ, E ad rectam ΘE perpendiculares ΘP, $E\Pi$, per A autem rectae $ME\Theta N$ parallela ducatur $\Sigma A T$, et fiat

$$\Theta E : E\Pi = A\Sigma^2 : B\Sigma \times \Sigma\Gamma,$$
$$E\Theta : \Theta P = AT^2 : OT \times T\Xi.$$

iam quoniam conus, cuius uertex est punctum A, basis autem $B\Gamma$ circulus, plano per axem sectus est, quod sectionem effecit triangulum $AB\Gamma$, et alio quoque plano sectus est, quod basim coni secundum rectam ΔMZ secat ad $B\Gamma$ perpendicularem et in superficie sectionem effecit ΔEZ, et diametrus ME producta cum latere trianguli per axem positi extra uerticem coni concurrit, et per A punctum EM diametro sectionis parallela ducta est $A\Sigma$, et ab E ad EM perpendicularis ducta est $E\Pi$, et est

$$E\Theta : E\Pi = A\Sigma^2 : B\Sigma \times \Sigma\Gamma,$$

sectio ΔEZ hyperbola est, $E\Pi$ autem parametrus rectarum ad EM ordinate ductarum, transuersum autem latus figurae ΘE [prop. XII]. et eodem modo etiam $H\Theta K$ hyperbola est, cuius diametrus est ΘN, parametrus autem rectarum ad ΘN ordinate ductarum ΘP, transuersum autem latus figurae ΘE.

dico, esse $\Theta P = E\Pi$. nam quoniam $B\Gamma$ rectae ΞO parallela est, erit

$$A\Sigma : \Sigma\Gamma = AT : T\Xi, \quad A\Sigma : \Sigma B = AT : TO$$

[Eucl. VI, 4]. uerum

$$(A\Sigma : \Sigma\Gamma) \times (A\Sigma : \Sigma B) = A\Sigma^2 : B\Sigma \times \Sigma\Gamma,$$
$$(AT : T\Xi) \times (AT : TO) = AT^2 : \Xi T \times TO.$$

(utroque loco); corr. Memus. 19. τεταγμένως] τετ- contorte V, τετα... mg. m. rec. 27. $\Sigma\Gamma$] Γ V, corr. p. 28. ΣB] B V; corr. p. 29. τό] cv, supra scr. m. 1 V.

ΑΤ πρὸς *ΤΟ* ὁ τοῦ ἀπὸ *ΑΤ* πρὸς τὸ ὑπὸ *ΞΤΟ*· ἔστιν ἄρα ὡς τὸ ἀπὸ *ΑΣ* πρὸς τὸ ὑπὶ *ΒΣΓ*, οὕτως τὸ ἀπὸ *ΑΤ* πρὸς τὸ ὑπὸ *ΞΤΟ*. καί ἐστιν ὡς μὲν τὸ ἀπὸ *ΑΣ* πρὸς τὸ ὑπὸ *ΒΣΓ*, ἡ *ΘΕ* πρὸς *ΕΠ*, ὡς δὲ τὸ ἀπὸ *ΑΤ* πρὸς τὸ ὑπὸ *ΞΤΟ*, ἡ *ΘΕ* πρὸς *ΘΡ*· καὶ ὡς ἄρα ἡ *ΘΕ* πρὸς *ΕΠ*, ἡ *ΕΘ* πρὸς *ΘΡ*. ἴση ἄρα ἐστὶν ἡ *ΕΠ* τῇ *ΘΡ*.

ιε΄.

Ἐὰν ἐν ἐλλείψει ἀπὸ τῆς διχοτομίας τῆς διαμέτρου ἀχθεῖσα εὐθεῖα τεταγμένως ἐκβληθῇ ἐφ᾽ ἑκάτερα ἕως τῆς τομῆς, καὶ ποιηθῇ ὡς ἡ ἐκβληθεῖσα πρὸς τὴν διάμετρον, ἡ διάμετρος πρός τινα εὐθεῖαν, ἥτις ἂν ἀπὸ τῆς τομῆς ἀχθῇ ἐπὶ τὴν ἐκβληθεῖσαν παράλληλος τῇ διαμέτρῳ, δυνήσεται τὸ παρακείμενον παρὰ τὴν τρίτην ἀνάλογον πλάτος ἔχον τὴν ὑπ᾽ αὐτῆς ἀπολαμβανομένην πρὸς τῇ τομῇ ἐλλεῖπον εἴδει ὁμοίῳ τῷ περιεχομένῳ ὑπό τε τῆς ἐφ᾽ ἣν ἄγονται καὶ τῆς παρ᾽ ἣν δύνανται, καὶ προσεκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς τομῆς δίχα τμηθήσεται ὑπὸ τῆς ἐφ᾽ ἣν κατῆκται.

ἔστω ἔλλειψις, ἧς διάμετρος ἡ *ΑΒ*, καὶ τετμήσθω ἡ *ΑΒ* δίχα κατὰ τὸ *Γ* σημεῖον, καὶ διὰ τοῦ *Γ* ἤχθω τεταγμένως καὶ ἐκβεβλήσθω ἐφ᾽ ἑκάτερα ἕως τῆς τομῆς ἡ *ΔΓΕ*, καὶ ἀπὸ τοῦ *Δ* σημείου τῇ *ΔΕ* πρὸς ὀρθὰς ἤχθω ἡ *ΔΖ*, καὶ ποιείσθω ὡς ἡ *ΔΕ* πρὸς *ΑΒ*, οὕτως ἡ *ΑΒ* πρὸς τὴν *ΔΖ*, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ *Η*, καὶ διὰ τοῦ *Η* τῇ *ΑΒ* παράλληλος ἤχθω ἡ *ΗΘ*, καὶ ἐπεζεύχθω ἡ *ΕΖ*, καὶ διὰ μὲν τοῦ *Θ* τῇ

8. ιε΄] p, om. V, m. 2 v. 11. ποιήσῃ V, corr. Halley. 19. μέρους] μέτρου V, corr. p et m. 2 v. 23. ἐκβεβλήσθω] cp, ἐκβλήσθω V, corr. m. rec. 24. τοῦ] p, om. V.

erit igitur $A\Sigma^2 : B\Sigma \times \Sigma\Gamma = AT^2 : \Xi T \times TO$. est autem $\Theta E : E\Pi = A\Sigma^2 : B\Sigma \times \Sigma\Gamma$,


$$\Theta E : \Theta P = AT^2 : \Xi T \times TO.$$

quare etiam $\Theta E : E\Pi = E\Theta : \Theta P$. ergo $E\Pi = \Theta P$ [Eucl. V, 9].

XV.

Si in ellipsi recta a puncto medio diametri ordinate ducta in utramque partem usque ad sectionem producitur, et fit, ut producta ad diametrum, ita diametrus ad rectam aliquam, quaelibet recta, quae a sectione ad productam diametro parallela ducitur, quadrata aequalis erit spatio tertiae illi proportionali adplicato, quod latitudinem habet rectam ab ea ad sectionem abscisam et figura deficit simili rectangulo ab ea, ad quam ducuntur, parametroque comprehenso, et ad alteram partem sectionis producta a recta, ad quam ducta est, in duas partes aequales secabitur.

sit ellipsis, cuius diametrus sit AB, et secetur AB in Γ puncto in duas partes aequales, et per Γ ordinate ducatur et in utramque partem usque ad sectionem producatur $\Delta\Gamma E$, et a Δ puncto ad ΔE perpendicularis ducatur ΔZ, fiatque



$$AB : \Delta Z = \Delta E : AB,$$

et sumatur punctum aliquod H in sectione, et per H rectae AB parallela ducatur $H\Theta$, ducaturque EZ, et per Θ rectae ΔZ parallela ducatur $\Theta\Lambda$, per Z, Λ autem rectae $\Theta\Delta$ parallelae ducantur

ΔΖ παράλληλος ἤχθω ἡ ΘΛ, δια δὲ τῶν Ζ, Λ τῇ ΘΔ παράλληλοι ἤχθωσαν αἱ ΖΚ, ΛΜ. λέγω, ὅτι ἡ ΗΘ δύναται τὸ ΔΛ, ὃ παράκειται παρὰ τὴν ΔΖ πλάτος ἔχον τὴν ΔΘ ἐλλεῖπον εἴδει τῷ ΛΖ ὁμοίῳ ὄντι τῷ ὑπὸ ΕΔΖ.

ἔστω γὰρ παρ' ἣν δύνανται αἱ ἐπὶ την ΑΒ καταγόμεναι τεταγμένως ἡ ΑΝ, καὶ ἐπεζεύχθω ἡ ΒΝ, καὶ διὰ μὲν τοῦ Η τῇ ΔΕ παράλληλος ἤχθω ἡ ΗΞ, δια δὲ τῶν Ξ, Γ τῇ ΑΝ παράλληλοι ἤχθωσαν αἱ ΞΟ, ΓΠ, διὰ δὲ τῶν Ν, Ο, Π τῇ ΑΒ παράλληλοι ἤχθωσαν αἱ ΝΥ, ΟΣ, ΤΠ· ἴσον ἄρα ἐστὶ τὸ μὲν ἀπὸ τῆς ΔΓ τῷ ΑΠ, τὸ δὲ ἀπὸ τῆς ΗΞ τῷ ΑΟ. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΒΑ πρὸς ΑΝ, οὕτως ἡ ΒΓ πρὸς ΓΠ, καὶ ἡ ΠΤ προς ΤΝ, ἴση δὲ ἡ ΒΓ τῇ ΓΑ, τουτέστι τῇ ΤΠ, καὶ ἡ ΓΠ τῇ ΤΑ, ἴσον ἄρα ἐστὶ το μὲν ΑΠ τῷ ΤΡ, τὸ δὲ ΞΤ τῷ ΤΥ. καὶ ἐπεὶ το ΟΤ τῷ ΟΡ ἐστιν ἴσον, κοινὸν δὲ τὸ ΝΟ, τὸ ΤΥ ἄρα ἴσον ἐστὶ τῷ ΝΣ. ἀλλὰ τὸ ΤΥ τῷ ΤΞ ἐστιν ἴσον, κοινὸν δὲ τὸ ΤΣ· ὅλον ἄρα τὸ ΝΠ, τουτέστι τὸ ΠΑ, ἴσον ἐστὶ τῷ ΑΟ μετὰ τοῦ ΠΟ· ὥστε τὸ ΠΑ τοῦ ΑΟ ὑπερέχει τῷ ΟΠ. καί ἐστι το μὲν ΑΠ ἴσον τῷ ἀπο τῆς ΓΔ, τὸ δὲ ΑΟ ἴσον τῷ ἀπὸ τῆς ΞΗ, τὸ δὲ ΟΠ ἴσον τῷ ὑπὸ ΟΣΠ· τὸ ἄρα ἀπὸ τῆς ΓΔ τοῦ ἀπο τῆς ΗΞ ὑπερέχει τῷ ὑπὸ τῶν ΟΣΠ. καὶ ἐπεὶ ἡ ΔΕ τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Γ, εἰς δὲ ἄνισα κατὰ τὸ Θ, τὸ ἄρα ὑπὸ τῶν ΕΘΔ μετὰ τοῦ ἀπὸ τῆς ΓΘ, τουτέστι τῆς ΞΗ, ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΔ. τὸ ἄρα ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΞΗ ὑπερέχει τῷ ὑπὸ τῶν ΕΘΔ· ὑπερεῖχε δὲ τὸ ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ τῆς ΗΞ τῷ ὑπὸ τῶν ΟΣΠ· τὸ ἄρα ὑπὸ τῶν ΕΘΔ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΟΣΠ. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΔΕ πρὸς ΑΒ, οὕτως ἡ

---

1. ΘΔ] ΘΛ V; corr. p. 10. ΝΥ] ΝΥΡ Halley cum Command., ΝΡ p. 12. διὰ τὸ δ' [τοῦ] ϛ' mg. m. 1 V

$Z K$, $\varLambda M$. dico, esse $H\Theta^2 = \varDelta\varLambda$, quod rectae $\varDelta Z$ adplicatum est latitudinem habens $\varDelta\Theta$ et figura deficiens $\varLambda Z$ simili rectangulo $E\varDelta Z$.

sit enim parametrus rectarum ad $\varLambda B$ ordinate ductarum $\varLambda N$, ducaturque BN, et per H rectae $\varDelta E$ parallela ducatur $H\Xi$, per Ξ, Γ autem rectae $\varLambda N$ parallelae ducantur ΞO, $\Gamma\Pi$, per N, O, Π autem rectae $\varLambda B$ parallelae ducantur $N\Upsilon$, $O\Sigma$, $T\Pi$; itaque

$$\varDelta\Gamma^2 = \varLambda\Pi,\ H\Xi^2 = \varLambda O \text{ [prop. XIII].}$$

et quoniam est

$$B\varLambda : \varLambda N = B\Gamma : \Gamma\Pi = \Pi T : TN \text{ [Eucl. VI, 4],}$$

et $B\Gamma = \Gamma\varLambda = T\Pi$, $\Gamma\Pi = T\varLambda$, erit $\varLambda\Pi = TP$, $\Xi T = T\Upsilon$ [Eucl. VI, 1]. et quoniam $OT = OP$ [Eucl. I, 43], et NO commune est, erit $T\Upsilon = N\Sigma$. est autem $T\Upsilon = T\Xi$, et $T\Sigma$ commune. quare $N\Pi = \varLambda O + \Pi O$, hoc est $\Pi\varLambda = \varLambda O + \Pi O$. itaque $\Pi\varLambda \div \varLambda O = O\Pi$. est autem

$$\varLambda\Pi = \Gamma\varDelta^2,\ \varLambda O = \Xi H^2,\ O\Pi = O\Sigma \times \Sigma\Pi;$$

itaque

$$\Gamma\varDelta^2 \div H\Xi^2 = O\Sigma \times \Sigma\Pi.$$

et quoniam $\varDelta E$ in Γ in partes aequales, in Θ autem in inaequales secta est, erit $E\Theta \times \Theta\varDelta + \Gamma\Theta^2 = \Gamma\varDelta^2$ [Eucl. II, 5] $= E\Theta \times \Theta\varDelta + \Xi H^2$. quare

$$\Gamma\varDelta^2 \div \Xi H^2 = E\Theta \times \Theta\varDelta.$$

erat autem

$$\Gamma\varDelta^2 \div H\Xi^2 = O\Sigma \times \Sigma\Pi.$$

quare

$$E\Theta \times \Theta\varDelta = O\Sigma \times \Sigma\Pi.$$

στοιχείων add. m. rec. 13. $\Gamma\Pi$] $B\Pi$ V; corr. Memus. $T\varLambda$] scripsi; ΠN V, TN ἐστιν ἴση Halley, *tn* Command. et Memus.

ΑΒ πρὸς τὴν ΔΖ, ἔστιν ἄρα καὶ ὡς ἡ ΔΕ πρὸς τὴν ΔΖ, οὕτως τὸ ἀπὸ τῆς ΔΕ πρὸς τὶ ἀπὸ τῆς ΑΒ, τουτέστι τὸ ἀπὸ ΓΔ πρὸς τὸ ἀπὸ ΓΒ. καί ἐστι τῷ ἀπὸ ΓΔ ἴσον τὸ ὑπὸ ΠΓΑ, τουτέστι το ὑπὸ ΠΓΒ· καὶ ὡς ἄρα ἡ ΕΔ πρὸς ΔΖ, τουτέστιν ὡς ἡ ΕΘ πρὸς ΘΑ, τουτέστι τὸ ὑπὸ τῶν ΕΘΔ πρὸς τὸ ὑπὸ τῶν ΔΘΑ, οὕτως τὸ ὑπὸ τῶν ΠΓΒ πρὸς τὸ ἀπὸ ΓΒ, τουτέστι τὸ ὑπὸ ΠΣΟ προς τὸ ἀπο ΟΣ. καί ἐστιν ἴσον τὸ ὑπὸ ΕΘΔ τῷ ὑπὸ ΠΣΟ· ἴσον ἄρα καὶ τὸ ὑπὸ ΔΘΑ τῷ ἀπὸ τῆς ΟΣ, τουτέστι τῷ ἀπὸ τῆς ΗΘ. ἡ ΗΘ ἄρα δύναται τὸ ΔΑ, ὃ παράκειται παρὰ τὴν ΔΖ ἐλλεῖπον εἴδει τῷ ΖΑ ὁμοίῳ ὄντι τῷ ὑπὸ τῶν ΕΔΖ.

λέγω δή, ὅτι καὶ ἐκβαλλομένη ἡ ΘΗ ἕως τοῦ ἑτέρου μέρους τῆς τομῆς δίχα τμηθήσεται ὑπὸ τῆς ΔΕ.

ἐκβεβλήσθω γὰρ καὶ συμβαλλέτω τῇ τομῇ κατὰ τὸ Φ, καὶ διὰ μὲν τοῦ Φ τῇ ΗΞ παράλληλος ἤχθω ἡ ΦΧ, διὰ δὲ τοῦ Χ τῇ ΑΝ παράλληλος ἤχθω ἡ ΧΨ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΗΞ τῇ ΦΧ, ἴσον ἄρα καὶ τὶ ἀπὸ τῆς ΗΞ τῷ ἀπὸ τῆς ΦΧ. ἀλλὰ τὸ μὲν ἀπὸ τῆς ΗΞ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΞΟ, τὸ δὲ ἀπὸ τῆς ΦΧ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΧΨ. ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΟΞ πρὸς τὴν ΨΧ, οὕτως ἡ ΧΑ πρὸς ΑΞ. καί ἐστιν ὡς ἡ ΟΞ πρὸς τὴν ΨΧ, οὕτως ἡ ΞΒ πρὸς ΒΧ· καὶ ὡς ἄρα ἡ ΧΑ πρὸς ΑΞ, οὕτως ἡ ΞΒ πρὸς ΒΧ. καὶ διελόντι ὡς ἡ ΧΞ πρὸς ΞΑ, οὕτως ἡ ΧΞ πρὸς ΧΒ. ἴση ἄρα ἐστὶν ἡ ΑΞ τῇ ΧΒ. ἔστι δὲ καὶ ἡ ΑΓ τῇ ΓΒ ἴση· καὶ λοιπὴ ἄρα ἡ ΞΓ τῇ ΓΧ ἐστιν

---

ne sit enim, sed, si fieri potest, diametrus sectionis sit $B\Theta$. itaque $A\Theta = \Theta\Gamma$ [I deff. pr. 4]; quod absurdum est; nam $AE = E\Gamma$. ergo $B\Theta$ diametrus sectionis non erit. iam eodem modo demonstrabimus, ne aliam quidem ullam diametrum esse praeter BE.

VIII.

Si recta cum hyperbola in duobus punctis concurrit, in utramque partem producta cum asymptotis concurret, et rectae ex ea ad asymptotas a sectione abscisae aequales erunt.

sit hyperbola $AB\Gamma$, asymptotae autem $E\Delta$, ΔZ, et cum $AB\Gamma$ concurrat recta aliqua $A\Gamma$. dico, eam in utramque partem productam cum asymptotis concurrere.

ἡ ΔΗ. διάμετρος ἄρα ἐστὶ τῆς τομῆς· ἡ ἄρα κατὰ τὸ Β ἐφαπτομένη παράλληλός ἐστι τῇ ΑΓ. ἔστω οὖν ἐφαπτομένη ἡ ΘΒΚ· συμπεσεῖται δη ταῖς ΕΔ, ΔΖ. ἐπεὶ οὖν παράλληλός ἐστιν ἡ ΑΓ τῇ ΚΘ, καὶ ἡ ΚΘ συμπίπτει ταῖς ΔΚ, ΔΘ, καὶ ἡ ΑΓ ἄρα συμπεσεῖται ταῖς ΔΕ, ΔΖ.

συμπιπτέτω κατὰ τὰ Ε, Ζ· καί ἐστιν ἴση ἡ ΘΒ τῇ ΒΚ· ἴση ἄρα καὶ ἡ ΖΗ τῇ ΗΕ. ὥστε καὶ ἡ ΓΖ τῇ ΑΕ.

θ'.

Ἐὰν εὐθεῖα συμπίπτουσα ταῖς ἀσυμπτώτοις δίχα τέμνηται ὑπὸ τῆς ὑπερβολῆς, καθ' ἓν μόνον σημεῖον ἅπτεται τῆς τομῆς.

εὐθεῖα γὰρ ἡ ΓΔ συμπίπτουσα ταῖς ΓΑΔ ἀσυμπτώτοις δίχα τεμνέσθω ὑπὸ τῆς ὑπερβολῆς κατὰ τὸ Ε σημεῖον. λέγω, ὅτι κατ' ἄλλο σημεῖον οὐχ ἅπτεται τῆς τομῆς.

εἰ γὰρ δυνατόν, ἁπτέσθω κατὰ τὸ Β. ἴση ἄρα ἐστὶν ἡ ΓΕ τῇ ΒΔ· ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ἡ ΓΕ τῇ ΕΔ ἴση. οὐκ ἄρα καθ' ἕτερον σημεῖον ἅπτεται τῆς τομῆς.


ι'.

Ἐὰν εὐθεῖά τις τέμνουσα τὴν τομὴν συμπίπτῃ ἑκατέρᾳ τῶν ἀσυμπτώτων, τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῶν ἀπολαμβανομένων εὐθειῶν μεταξὺ τῶν ἀσυμπτώτων καὶ τῆς τομῆς ἴσον ἐστὶ τῷ τετάρτῳ τοῦ γινο-

---

1. ἡ] (alt.) c, renouat. m. rec. V. 5. ΔΘ] ΚΘ V, corr. p. 15. ΓΑΔ] c, Δ e corr. m. 1 V.

$A\Gamma$ in H in duas partes aequales secetur, et ducatur ΔH; ea igitur diametrus sectionis est [prop. VII].



itaque recta in B contingens rectae $A\Gamma$ parallela est [prop. V—VI]. contingat igitur $\Theta B K$. itaque cum $E\Delta$, ΔZ concurret [prop. III]. quoniam igitur $A\Gamma$ et $K\Theta$ parallelae sunt, et $K\Theta$ cum ΔK, $\Delta\Theta$ concurrit, etiam $A\Gamma$ cum ΔE, ΔZ concurret.

concurrat in E, Z. et $\Theta B = BK$; quare etiam [Eucl. VI, 4] $ZH = HE$. ergo etiam $\Gamma Z = AE$.

IX.

Si recta cum asymptotis concurrens ab hyperbola in duas partes aequales secatur, in uno puncto solo sectionem tangit.

recta enim $\Gamma\Delta$ cum asymptotis $\Gamma A \Delta$ concurrens ab hyperbola in puncto E in duas partes aequales secetur. dico, eam in nullo alio puncto sectionem tangere.


nam si fieri potest, tangat in B. itaque $\Gamma E = B\Delta$ [prop. VIII]; quod absurdum est; supposuimus enim, esse $\Gamma E = E\Delta$. ergo $\Gamma\Delta$ in nullo alio puncto sectionem tangit.

X.

Si recta aliqua sectionem secans cum utraque asymptota concurrit, rectangulum comprehensum rectis inter asymptotas sectionemque abscisis aequale est quartae parti figurae ad diametrum effectae, quae

μένου εἴδους πρὸς τῇ διχοτομούσῃ διαμέτρῳ τὰς ἀγομένας παρὰ τὴν ἠγμένην εὐθεῖαν.

ἔστω ὑπερβολὴ ἡ ΑΒΓ, ἀσύμπτωτοι δὲ αὐτῆς αἱ ΔΕ, ΕΖ, καὶ ἤχθω τις ἡ ΔΖ τέμνουσα τὴν τομὴν καὶ τὰς ἀσυμπτώτους, καὶ τετμήσθω ἡ ΑΓ δίχα κατὰ τὸ Η, καὶ ἐπεζεύχθω ἡ ΗΕ, καὶ κείσθω τῇ ΒΕ ἴση



ἡ ΕΘ, καὶ ἤχθω ἀπὸ τοῦ Β τῇ ΘΕΒ πρὸς ὀρθὰς ἡ ΒΜ· διάμετρος ἄρα ἐστὶν ἡ ΒΘ, ὀρθία δὲ ἡ ΒΜ. λέγω, ὅτι τὸ ὑπὸ ΔΑΖ ἴσον ἐστὶ τῷ τετάρτῳ τοῦ ὑπὸ τῶν ΘΒΜ, ὁμοίως δὴ καὶ τὸ ὑπὸ τῶν ΔΓΖ.

ἤχθω γὰρ διὰ τοῦ Β ἐφαπτομένη τῆς τομῆς ἡ ΚΛ· παράλληλος ἄρα ἐστὶ τῇ ΔΖ. καὶ ἐπεὶ δέδεικται, ὡς ἡ ΘΒ πρὸς ΒΜ, τὸ ἀπὸ ΕΒ πρὸς τὸ ἀπὸ ΒΚ, τουτέστι τὸ ἀπὸ ΕΗ πρὸς τὸ ἀπὸ ΗΔ, ὡς δὲ ἡ ΘΒ πρὸς ΒΜ, τὸ ὑπὸ ΘΗΒ πρὸς τὸ ἀπὸ ΗΑ, ὡς ἄρα τὸ ἀπὸ ΕΗ πρὸς τὸ ἀπὸ ΗΔ, τὸ ὑπὸ ΘΗΒ πρὸς τὸ ἀπὸ ΗΑ. ἐπεὶ οὖν ἐστιν, ὡς ὅλον τὸ ἀπὸ ΕΗ πρὸς ὅλον τὸ ἀπὸ ΔΗ, οὕτως ἀφαιρεθὲν τὸ ὑπὸ ΘΗΒ πρὸς ἀφαιρεθὲν τὸ ἀπὸ ΑΗ, καὶ λοιπὸν ἄρα τὸ ἀπὸ ΕΒ πρὸς

1. εἴδους] cvp, euan. V. 15. ὡς ἄρα — 16. ἀπὸ ΗΑ] addidi e p (τῆς ΕΗ; τῆς ΗΔ οὕτω; τῶν ΘΗ, ΗΒ; τῆς ΗΑ); om. V; cfr. p. 196, 10—11.

rectas ductae rectae parallelas in binas partes aequales secat.

sit hyperbola $AB\Gamma$, asymptotae autem eius ΔE, EZ, et ducatur recta aliqua ΔZ sectionem asymptotasque secans, et $A\Gamma$ in H in duas partes aequales secetur, ducaturque HE, et ponatur $E\Theta = BE$, ducaturque a B ad ΘEB perpendicularis BM; itaque $B\Theta$ diametrus est [prop. VII], BM autem latus rectum.[1]) dico, esse

$$\Delta A \times AZ = \frac{1}{4}\Theta B \times BM = \Delta\Gamma \times \Gamma Z.$$

ducatur enim per B sectionem contingens $K\Lambda$; ea igitur rectae ΔZ parallela est [prop. V]. et quoniam demonstrauimus, esse

$$\Theta B : BM = EB^2 : BK^2 \text{ [prop. I]} = EH^2 : H\Delta^2$$

[Eucl. VI, 4], et

$$\Theta B : BM = \Theta H \times HB : HA^2 \text{ [I, 21]},$$

erit etiam

$$EH^2 : H\Delta^2 = \Theta H \times HB : HA^2.$$

iam quoniam est, ut totum EH^2 ad totum ΔH^2, ita ablatum $\Theta H \times HB$ ad ablatum AH^2, erit etiam [Eucl. V, 19] reliquum EB^2 [Eucl. II, 6] ad reliquum $\Delta A \times AZ$ [Eucl. II, 5] $= EH^2 : H\Delta^2 = EB^2 : BK^2$ [Eucl. VI, 4]. itaque [Eucl. V, 9]

$$ZA \times A\Delta = BK^2$$

[tum u. prop. III].

---

1) Intellegitur igitur factum esse, ut sit

$$\Theta B : BM = \Theta H \times HB : AH^2,$$

nec opus est hoc cum Memo diserte adiicere, ut fecit Halley.

λοιπὸν τὸ ὑπὸ *ΔΑΖ* ἐστιν, ὡς τὸ ἀπὸ *ΕΗ* πρὸς το ἀπὸ *ΗΔ*, τουτέστι τὸ ἀπὸ *ΕΒ* πρὸς τὸ ἀπὸ *ΒΚ*. ἴσον ἄρα τὸ ὑπὸ *ΖΑΔ* τῷ ἀπὸ *ΒΚ*.

ὁμοίως δὴ δειχθήσεται καὶ τὸ ὑπὸ *ΔΓΖ* τῷ ἀπὸ *ΒΔ*. ἴσον δὲ τὸ ἀπὸ *ΚΒ* τῷ ἀπὸ *ΒΔ*· ἴσον ἄρα καὶ τὸ ὑπὸ *ΖΑΔ* τῷ ὑπὸ *ΖΓΔ*.

ια'.

Ἐὰν ἑκατέραν τῶν περιεχουσῶν τὴν ἐφεξῆς γωνίαν τῆς περιεχούσης τὴν ὑπερβολὴν τέμνῃ τις εὐθεῖα, συμπεσεῖται τῇ τομῇ καθ' ἓν μόνον σημεῖον, καὶ τὸ περιεχόμενον ὑπὸ τῶν ἀπολαμβανομένων εὐθειῶν μεταξὺ τῶν περιεχουσῶν καὶ τῆς τομῆς ἴσον ἔσται τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἠγμένης διαμέτρου παρὰ τὴν τέμνουσαν εὐθεῖαν.

ἔστω ὑπερβολή, ἧς ἀσύμπτωτοι αἱ *ΓΑ*, *ΑΔ*, καὶ ἐκβεβλήσθω ἡ *ΔΑ* ἐπὶ τὸ *Ε*, καὶ διά τινος σημείου τοῦ *Ε* διήχθω ἡ *ΕΖ* τέμνουσα τὰς *ΕΑ*, *ΑΓ*.

ὅτι μὲν οὖν συμπίπτει τῇ τομῇ καθ' ἓν μόνον σημεῖον, φανερόν· ἡ γὰρ διὰ τοῦ *Α* τῇ *ΕΖ* παράλληλος ἀγομένη ὡς ἡ *ΑΒ* τεμεῖ τὴν ὑπὸ *ΓΑΔ* γωνίαν καὶ συμπεσεῖται τῇ τομῇ καὶ διάμετρος αὐτῆς ἔσται· ἡ *ΕΖ* ἄρα συμπεσεῖται τῇ τομῇ καθ' ἓν μόνον σημεῖον.

συμπιπτέτω κατὰ τὸ *Η*.

λέγω δή, ὅτι καὶ τὸ ὑπὸ τῶν *ΕΗΖ* ἴσον ἐστὶ τῷ ἀπὸ τῆς *ΑΒ*.

ἤχθω γὰρ διὰ τοῦ *Η* τεταγμένως ἡ *ΘΗΛΚ*· ἡ ἄρα διὰ τοῦ *Β* ἐφαπτομένη παράλληλός ἐστι τῇ *ΗΘ*. ἔστω

---

4. τῷ] cvp, corr. ex τό m. 1 V. 5. *ΒΛ* ἴσον? 15. *ΑΔ*] cvp, corr. ex *ΓΔ* m. 1 V. 24. δή] δέ V; corr. Halley.

iam similiter demonstrabimus, esse etiam


$$\Delta\Gamma \times \Gamma Z = B\Lambda^2.$$

uerum $KB^2 = B\Lambda^2$ [prop. III]. ergo etiam

$$Z\Lambda \times \Lambda\Delta = Z\Gamma \times \Gamma\Delta.$$

XI.

Si recta aliqua utramque rectam, quae angulum ad angulum hyperbolam continentem deinceps positum comprehendunt, secat, cum sectione in uno solo puncto concurret, et rectangulum comprehensum rectis inter rectas comprehendentes sectionemque abscisis aequale erit quartae parti quadrati diametri rectae secanti parallelae ductae.



sit hyperbola, cuius asymptotae sint ΓA, $A\Delta$, producaturque ΔA ad E, et per punctum aliquod E ducatur EZ rectas EA, $A\Gamma$ secans.

iam eam in uno solo puncto cum sectione concurrere, manifestum est; nam recta per A rectae EZ parallela ducta ut AB angulum $\Gamma A\Delta$ secabit et cum sectione concurret [prop. II] diametrusque eius erit [I, 51 coroll.]; itaque EZ in uno solo puncto cum sectione concurret [I, 26].


In figura Λ in v om., in V posita est m. 2 in intersectione rectarum AB, ΘK.

ἡ ΓΔ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΓΒ τῇ ΒΔ, τὸ ἄρα ἀπὸ ΓΒ, τουτέστι τὸ ὑπὸ ΓΒΔ, πρὸς τὸ ἀπὸ ΒΑ λόγον ἔχει τὸν συγκείμενον ἐκ τοῦ τῆς ΓΒ πρὸς ΒΑ καὶ τοῦ τῆς ΔΒ πρὸς ΒΑ. ἀλλ' ὡς μὲν ἡ ΓΒ πρὸς ΒΑ, ἡ ΘΗ πρὸς ΗΖ, ὡς δὲ ἡ ΔΒ πρὸς ΒΑ, ἡ ΗΚ πρὸς ΗΕ· ὁ ἄρα τοῦ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΒΑ λόγος σύγκειται ἐκ τοῦ τῆς ΘΗ πρὸς ΗΖ καὶ τῆς ΚΗ πρὸς ΗΕ. ἀλλὰ καὶ ὁ τοῦ ὑπὸ ΚΗΘ πρὸς τὸ ὑπὸ ΕΗΖ λόγος σύγκειται ἐκ τῶν αὐτῶν· ὡς ἄρα τὸ ὑπὸ ΚΗΘ πρὸς τὸ ὑπὸ ΕΗΖ, τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΒΑ. ἐναλλάξ, ὡς τὸ ὑπὸ ΚΗΘ πρὸς τὸ ἀπὸ ΓΒ, τὸ ὑπὸ ΕΗΖ πρὸς τὸ ἀπὸ ΑΒ. ἴσον δὲ τὸ ὑπὸ ΚΗΘ τῷ ἀπὸ ΓΒ ἐδείχθη· ἴσον ἄρα καὶ τὸ ὑπὸ ΕΗΖ τῷ ἀπὸ ΑΒ.

ιβ'.

Ἐὰν ἐπὶ τὰς ἀσυμπτώτους ἀπό τινος σημείου τῶν ἐπὶ τῆς τομῆς β εὐθεῖαι ἀχθῶσιν ἐν τυχούσαις γωνίαις, καὶ ταύταις παράλληλοι ἀχθῶσιν ἀπό τινος σημείου τῶν ἐπὶ τῆς τομῆς, τὸ ὑπὸ τῶν παραλλήλων περιεχόμενον ὀρθογώνιον ἴσον ἔσται τῷ περιεχομένῳ ὑπὸ τῶν, αἷς αἱ παράλληλοι ἤχθησαν.

ἔστω ὑπερβολή, ἧς ἀσύμπτωτοι αἱ ΑΒ, ΒΓ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς το Δ, καὶ ἀπ' αὐτοῦ ἐπὶ τὰς ΑΒ, ΒΓ κατήχθωσαν αἱ ΔΕ, ΔΖ, εἰλήφθω



10. ΕΗΖ] corr. ex ΕΖΗ m. 2 V, ΕΖΗ cv; τῶν ΕΗ, ΗΖ p. 17. ἀχθῶσι V, corr. pc.

concurrat in H.

iam dico, esse etiam $EH \times HZ = AB^2$.

per H enim ordinate ducatur $\Theta H \Lambda K$; itaque recta in B contingens rectae $H\Theta$ parallela est [prop. V]. sit $\Gamma\Delta$. iam quoniam $\Gamma B = B\Delta$ [prop. III], erit

$$\Gamma B^2 : B\Lambda^2 = \Gamma B \times B\Delta : B\Lambda^2$$
$$= (\Gamma B : B\Lambda) \times (\Delta B : B\Lambda).$$

est autem [Eucl. VI, 4] $\Gamma B : B\Lambda = \Theta H : HZ$,

$$\Delta B : B\Lambda = HK : HE.$$

itaque erit $\Gamma B^2 : B\Lambda^2 = (\Theta H : HZ) \times (KH : HE)$. est autem etiam

$KH \times H\Theta : EH \times HZ = (\Theta H : HZ) \times (KH : HE)$. quare $KH \times H\Theta : EH \times HZ = \Gamma B^2 : B\Lambda^2$. permutando [Eucl. V, 16]

$$KH \times H\Theta : \Gamma B^2 = EH \times HZ : AB^2.$$

demonstravimus autem, esse $KH \times H\Theta = \Gamma B^2$ [prop. X]. ergo etiam $EH \times HZ = AB^2$ [Eucl. V, 14].

XII.

Si ab aliquo puncto sectionis duae rectae ad asymptotas ducuntur angulos quoslibet efficientes, iisque parallelae ab aliquo puncto sectionis ducuntur, rectangulum rectis parallelis comprehensum aequale erit rectangulo comprehenso rectis, quibus parallelae ductae sunt.

sit hyperbola, cuius asymptotae sint AB, $B\Gamma$, et in sectione sumatur punctum aliquod Δ, ab eoque ad AB, $B\Gamma$ ducantur ΔE, ΔZ, et in sectione aliud sumatur punctum H, et per H rectis $E\Delta$, ΔZ parallelae ducantur $H\Theta$, HK. dico, esse

$$E\Delta \times \Delta Z = \Theta H \times HK.$$

δέ τι σημεῖον ἕτερον ἐπὶ τῆς τομῆς τὸ Η, καὶ διὰ τοῦ Η ταῖς ΕΔ, ΔΖ παράλληλοι ἤχθωσαν αἱ ΗΘ, ΗΚ. λέγω, ὅτι ἴσον ἐστὶ τὸ ὑπὸ ΕΔΖ τῷ ὑπὸ ΘΗΚ.

ἐπεζεύχθω γὰρ ἡ ΔΗ καὶ ἐκβεβλήσθω ἐπὶ τὰ Α, Γ. ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ὑπὸ ΑΔΓ τῷ ὑπὸ ΑΗΓ, ἔστιν ἄρα ὡς ἡ ΑΗ πρὸς ΑΔ, ἡ ΔΓ πρὸς ΓΗ. ἀλλ' ὡς μὲν ἡ ΑΗ πρὸς ΑΔ, ἡ ΗΘ πρὸς ΕΔ, ὡς δὲ ἡ ΔΓ πρὸς ΓΗ, ἡ ΔΖ πρὸς ΗΚ· ὡς ἄρα ἡ ΘΗ πρὸς ΔΕ, ἡ ΔΖ πρὸς ΗΚ. ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ ΕΔΖ τῷ ὑπὸ ΘΗΚ.

ιγ'.

Ἐὰν ἐν τῷ ἀφοριζομένῳ τόπῳ ὑπὸ τῶν ἀσυμπτώτων καὶ τῆς τομῆς παράλληλος ἀχθῇ τις εὐθεῖα τῇ ἑτέρᾳ τῶν ἀσυμπτώτων, συμπεσεῖται τῇ τομῇ καθ' ἓν μόνον σημεῖον.

ἔστω ὑπερβολή, ἧς ἀσύμπτωτοι αἱ ΓΑ, ΑΒ, καὶ εἰλήφθω τι σημεῖον τὸ Ε, καὶ δι' αὐτοῦ τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΕΖ. λέγω, ὅτι συμπεσεῖται τῇ τομῇ.

εἰ γὰρ δυνατόν, μὴ συμπιπτέτω, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Η, καὶ διὰ τοῦ Η παρὰ τὰς ΓΑ, ΑΒ ἤχθωσαν αἱ ΗΓ, ΗΘ, καὶ τὸ ὑπὸ ΓΗΘ ἴσον ἔστω τῷ ὑπὸ ΑΕΖ, καὶ ἐπεζεύχθω ἡ ΑΖ καὶ ἐκβεβλήσθω· συμπεσεῖται δὴ τῇ τομῇ. συμπιπτέτω κατὰ τὸ Κ, καὶ διὰ τοῦ Κ παρὰ τὰς ΓΑΒ ἤχθωσαν αἱ ΚΛ, ΚΔ· τὸ ἄρα ὑπὸ ΓΗΘ ἴσον ἐστὶ τῷ ὑπὸ ΛΚΔ. ὑπόκειται δὲ καὶ τῷ ὑπὸ ΑΕΖ ἴσον· τὸ ἄρα ὑπὸ ΔΚΛ, τουτέστι τὸ ὑπὸ ΚΛΑ, ἴσον ἐστὶ τῷ ὑπὸ ΑΕΖ· ὅπερ

---

5. Post pr. ὑπό rep. ΕΔΖ lin. 3 — ὑπό lin. 5 (pr.) Vv; corr. V m. 2, pc. 7. ΕΔ] τὸ ΕΔ V; corr. p. 16. ΓΑ] ΓΔ v et ut uidetur e corr. m. 1 V; corr. pc. 24. παρά] c, π corr. ex κ m. 1 V.

ducatur enim $\varDelta H$ et producatur ad A, Γ. iam quoniam est $A\varDelta \times \varDelta\Gamma = AH \times H\Gamma$ [prop. X], erit [Eucl. VI, 16] $AH : A\varDelta = \varDelta\Gamma : \Gamma H$. est autem [Eucl. VI, 4] $AH : A\varDelta = H\Theta : E\varDelta$,

$$\varDelta\Gamma : \Gamma H = \varDelta Z : HK.$$


itaque $\Theta H : \varDelta E = \varDelta Z : HK$. ergo erit [Eucl. VI, 16] $E\varDelta \times \varDelta Z = \Theta H \times HK$.

XIII.

Si in loco asymptotis sectioneque comprehenso recta aliqua alteri asymptotae parallela ducitur, cum sectione in uno puncto solo concurret.

sit hyperbola, cuius asymptotae sint ΓA, AB, et sumatur punctum aliquod E, et per E rectae AB parallela ducatur EZ. dico, eam cum sectione concurrere.

nam, si fieri potest, ne concurrat, et in sectione sumatur punctum aliquod H, et per H rectis ΓA, AB parallelae ducantur $H\Gamma$, $H\Theta$, fiatque $\Gamma H \times H\Theta = AE \times EZ$, et ducatur AZ producaturque; concurret igitur cum sectione [prop. II]. concurrat in K, et rectis ΓA, AB parallelae per K ducantur $K\Lambda$, $K\varDelta$; itaque $\Gamma H \times H\Theta = \Lambda K \times K\varDelta$ [prop. XII]. supposuimus autem, esse etiam $\Gamma H \times H\Theta = AE \times EZ$.



itaque erit $\varDelta K \times K\Lambda = AE \times EZ = K\Lambda \times \Lambda A$ [Eucl. I, 34]; quod fieri non potest; est enim et

Figura in Vv imperfecta est.

ἀδύνατον· μείζων γάρ ἐστι καὶ ἡ ΚΛ τῆς ΕΖ καὶ ἡ ΛΑ τῆς ΑΕ. συμπεσεῖται ἄρα ἡ ΕΖ τῇ τομῇ.

συμπιπτέτω κατὰ τὸ Μ.

λέγω δή, ὅτι κατ' ἄλλο οὐ συμπεσεῖται. εἰ γὰρ δυνατόν, συμπιπτέτω καὶ κατὰ τὸ Ν, καὶ διὰ τῶν Μ, Ν τῇ ΓΑ παράλληλοι ἤχθωσαν αἱ ΜΞ, ΝΒ. τὸ ἄρα ὑπὸ ΕΜΞ ἴσον ἐστὶ τῷ ὑπὸ ΕΝΒ· ὅπερ ἀδύνατον. οὐκ ἄρα καθ' ἕτερον σημεῖον συμπεσεῖται τῇ τομῇ.

ιδ'.

Αἱ ἀσύμπτωτοι καὶ ἡ τομὴ εἰς ἄπειρον ἐκβαλλόμεναι ἔγγιόν τε προσάγουσιν ἑαυταῖς καὶ παντὸς τοῦ δοθέντος διαστήματος εἰς ἔλαττον ἀφικνοῦνται διάστημα.

ἔστω ὑπερβολή, ἧς ἀσύμπτωτοι αἱ ΑΒ, ΑΓ, δοθὲν δὲ διάστημα τὸ Κ. λέγω, ὅτι αἱ ΑΒ, ΑΓ καὶ ἡ τομὴ ἐκβαλλόμεναι ἔγγιόν τε προσάγουσιν ἑαυταῖς καὶ εἰς ἔλασσον ἀφίξονται διάστημα τοῦ Κ.

ἤχθωσαν γὰρ τῇ ἐφαπτομένῃ παράλληλοι αἱ ΕΘΖ, ΓΗΔ, καὶ ἐπεζεύχθω ἡ ΑΘ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ξ. ἐπεὶ οὖν τὸ ὑπὸ ΓΗΔ ἴσον ἐστὶ τῷ ὑπὸ ΖΘΕ, ἔστιν ἄρα, ὡς ἡ ΔΗ πρὸς ΖΘ, ἡ ΘΕ πρὸς ΓΗ. μείζων δὲ ἡ ΔΗ τῆς ΖΘ· μείζων ἄρα καὶ ἡ ΕΘ τῆς ΓΗ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ αἱ κατὰ τὸ ἑξῆς ἐλάττονές εἰσιν.

εἰλήφθω δη τοῦ Κ διαστήματος ἔλαττον τὸ ΕΛ, καὶ διὰ τοῦ Λ τῇ ΑΓ παράλληλος ἤχθω ἡ ΛΝ· συμ-

---

4. ὅτι] addidi; om. V. 5. καί] (pr.) om. cp. 7. ΕΜΞ] c, Ξ corr. ex Z m. 1 V. 19. ΑΘ] p, Α incertum V, ΕΘ c. 23. ἔλαττον V; corr. p.

$K\Lambda > EZ$ et $\Lambda A > AE$. ergo EZ cum sectione concurret.


concurrat in M.

iam dico, eam in nullo alio puncto concurrere. nam si fieri potest, concurrat etiam in N, et per M, N rectae $\Gamma\Delta$ parallelae ducantur $M\Xi$, NB. itaque $EM \times M\Xi = EN \times NB$ [prop. XII]; quod fieri non potest. ergo in nullo alio puncto cum sectione concurret.

XIV.

Asymptotae et sectio in infinitum productae semper magis inter se adpropinquant et ad distantiam omni data distantia minorem perueniunt.

sit hyperbola, cuius asymptotae sint AB, $A\Gamma$, data autem distantia sit K. dico, rectas AB, $A\Gamma$ sectionemque productas semper magis inter se adpropinquare et ad distantiam minorem quam K peruenturas esse.



ducantur enim contingenti parallelae $E\Theta Z$, $\Gamma H\Delta$, ducaturque $A\Theta$ et producatur ad Ξ. iam quoniam est [prop. X]

$\Gamma H \times H\Delta = Z\Theta \times \Theta E$,

erit [Eucl. VI, 16]

$$\Delta H : Z\Theta = \Theta E : \Gamma H.$$

uerum $\Delta H > Z\Theta$; itaque etiam [Eucl. V, 14] $E\Theta > \Gamma H$. iam similiter demonstrabimus, etiam distantias sequentes minores esse.

iam sumatur $E\Lambda < K$, et per Λ rectae $A\Gamma$ parallela

πεσεῖται ἄρα τῇ τομῇ. συμπιπτέτω κατὰ τὸ *N*, καὶ διὰ τοῦ *N* τῇ *EZ* παράλληλος ἤχθω ἡ *MNB*. ἡ ἄρα *MN* ἴση ἐστὶ τῇ *EΛ* καὶ διὰ τοῦτο ἐλάττων τῆς *K*.

πόρισμα.

ἐκ δὴ τούτου φανερόν, ὅτι πασῶν τῶν ἀσυμπτώτων τῇ τομῇ ἔγγιόν εἰσιν αἱ *AB*, *AΓ*, καὶ ἡ ὑπὸ τῶν *BAΓ* περιεχομένη γωνία ἐλάσσων ἐστὶ δηλαδὴ τῆς ὑπὸ ἑτέρων ἀσυμπτώτων τῇ τομῇ περιεχομένης.

ιε'.

Τῶν ἀντικειμένων τομῶν κοιναί εἰσιν αἱ ἀσύμπτωτοι.

ἔστωσαν ἀντικείμεναι τομαί, ὧν διάμετρος ἡ *AB*, κέντρον δὲ τὸ *Γ*. λέγω, ὅτι τῶν *A*, *B* τομῶν κοιναί εἰσιν αἱ ἀσύμπτωτοι.

ἤχθωσαν διὰ τῶν *A*, *B* σημείων ἐφαπτόμεναι τῶν τομῶν αἱ *ΔAE*, *ZBH*· παράλληλοι ἄρα εἰσίν. ἀπειλήφθω δὴ ἑκάστη τῶν *ΔA*, *AE*, *ZB*, *BH* ἴσον δυναμένη τῷ τετάρτῳ τοῦ παρὰ τὴν *AB* εἴδους· ἴσαι ἄρα αἱ *ΔA*, *AE*, *ZB*, *BH*. ἐπεζεύχθωσαν δὴ αἱ *ΓΔ*, *ΓE*, *ΓZ*, *ΓH*. φανερὸν δή, ὅτι ἐπ' εὐθείας ἐστὶν ἡ *ΔΓ* τῇ *ΓH* καὶ ἡ *ΓE* τῇ *ΓZ* διὰ τὰς παραλλήλους. ἐπεὶ οὖν ὑπερβολή ἐστιν, ἧς διάμετρος ἡ *AB*, ἐφαπτομένη δὲ ἡ *ΔE*, καὶ ἑκατέρα τῶν *ΔA*, *AE* δύναται τὸ τέταρτον τοῦ παρὰ τὴν *AB* εἴδους, ἀσύμπτωτοι ἄρα εἰσὶν αἱ *ΔΓ*, *ΓE*. διὰ τὰ αὐτὰ δὴ καὶ τῇ *B* ἀσύμπτωτοί εἰσιν αἱ *ZΓ*, *ΓH*. τῶν ἀντικειμένων ἄρα κοιναί εἰσιν ἀσύμπτωτοι.

---

2. *MNB*] *NMB* V; corr. p. 4. πόρισμα] om. V. 5. ἀσυμπτώτων] c, ἀ- supra scr. m. 1 V. 21. *ΓZ*] *EZ* V, corr. p.

ducatur ΔN; concurret igitur cum sectione [prop. XIII]. concurrat in N, et per N rectae EZ parallela ducatur MNB. ergo erit [Eucl. I, 34] $MN = E\Delta < K$.

Corollarium.


Iam hinc manifestum est, omnibus rectis cum sectione non concurrentibus propiores esse ΔB, $\Delta\Gamma$, et proinde angulum $B\Delta\Gamma$ minorem esse quouis angulo ab aliis rectis cum sectione non concurrentibus comprehenso.

XV.

Sectionum oppositarum communes sunt asymptotae.

sint sectiones oppositae, quarum diametrus sit AB, centrum autem Γ. dico, sectionum A, B communes esse asymptotas.

per puncta A, B sectiones contingentes ducantur ΔAE, ZBH; parallelae igitur sunt [prop. V]. ponantur igitur ΔA, AE, ZB, BH singulae quartae parti figurae rectae AB adplicatae aequales quadratae; est igitur $\Delta A = AE = ZB = BH$. iam ducantur $\Gamma\Delta$, ΓE, ΓZ, ΓH. manifestum igitur est propter parallelas [Eucl. I, 33], in eadem recta esse $\Delta\Gamma$, ΓH et ΓE, ΓZ. iam quoniam hyperbola est, cuius diametrus est AB, contingens autem ΔE, et utraque ΔA, AE quartae parti figurae rectae AB adplicatae quadrata aequalis est, asymptotae sunt $\Delta\Gamma$, ΓE [prop. I]. eadem igitur de causa sectionis B asymptotae sunt $Z\Gamma$, ΓH. ergo oppositarum communes sunt asymptotae.



ις'.

Ἐὰν ἐν ἀντικειμέναις ἀχθῇ τις εὐθεῖα τέμνουσα ἑκατέραν τῶν περιεχουσῶν τὴν ἐφεξῆς γωνίαν τῶν περιεχουσῶν τὰς τομάς, συμπεσεῖται ἑκατέρᾳ τῶν ἀντικειμένων καθ' ἓν μόνον σημεῖον, καὶ αἱ ἀπολαμβανόμεναι ἀπ' αὐτῆς ὑπὸ τῶν τομῶν πρὸς ταῖς ἀσυμπτώτοις ἴσαι ἔσονται.

ἔστωσαν γὰρ ἀντικείμεναι αἱ Α, Β, ὧν κέντρον μὲν τὸ Γ, ἀσύμπτωτοι δὲ αἱ ΔΓΗ, ΕΓΖ, καὶ διήχθω τις εὐθεῖα τέμνουσα ἑκατέραν τῶν ΔΓ, ΓΖ ἡ ΘΚ. λέγω, ὅτι ἐκβαλλομένη συμπεσεῖται ἑκατέρᾳ τῶν τομῶν καθ' ἓν σημεῖον μόνον.

ἐπεὶ γὰρ τῆς Α τομῆς ἀσύμπτωτοί εἰσιν αἱ ΔΓ, ΓΕ, καὶ διῆκταί τις εὐθεῖα ἡ ΘΚ τέμνουσα ἑκατέραν τῶν περιεχουσῶν τὴν ἐφεξῆς γωνίαν τὴν ὑπὸ ΔΓΖ, ἡ ΚΘ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ τομῇ. ὁμοίως δὴ καὶ τῇ Β.

συμπιπτέτω κατὰ τὰ Λ, Μ.

ἤχθω διὰ τοῦ Γ τῇ ΛΜ παράλληλος ἡ ΑΓΒ· ἴσον ἄρα ἐστὶ τὸ μὲν ὑπὸ ΚΛΘ τῷ ἀπὸ ΑΓ, τὸ δὲ ὑπὸ ΘΜΚ τῷ ἀπὸ ΓΒ. ὥστε καὶ τὸ ὑπὸ ΚΛΘ τῷ ὑπὸ ΘΜΚ ἐστιν ἴσον, καὶ ἡ ΛΘ τῇ ΚΜ.

ιζ'.

Τῶν κατὰ συζυγίαν ἀντικειμένων κοιναί εἰσιν αἱ ἀσύμπτωτοι.

ἔστωσαν συζυγεῖς ἀντικείμεναι, ὧν αἱ διάμετροι συζυγεῖς αἱ ΑΒ, ΓΔ, κέντρον δὲ τὸ Ε. λέγω, ὅτι κοιναὶ αὐτῶν εἰσιν αἱ ἀσύμπτωτοι.


---

9. ΔΓΗ, ΕΓΖ] ΔΓ ἢ ΕΖ V; corr. p. 10. ΓΖ] c, corr. ex ΔΖ m. 1 V. 18. τά] τό V; corr. p.

XVI.

Si in oppositis recta ducitur utramque rectam secans, quae angulum angulis sectiones continentibus deinceps positum comprehendunt, cum utraque opposita in uno solo puncto concurret, et rectae ex ea a sectionibus ad asymptotas abscisae aequales erunt.

sint enim oppositae A, B, quarum centrum sit Γ, asymptotae autem $\Delta\Gamma H$, $E\Gamma Z$ [prop. XV], ducaturque recta aliqua ΘK utramque $\Delta\Gamma$, ΓZ secans. dico, eam productam cum utraque sectione in uno solo puncto concurrere.



nam quoniam sectionis A asymptotae sunt $\Delta\Gamma$, ΓE, et ducta est recta aliqua ΘK utramque rectarum angulum $\Delta\Gamma Z$ deinceps positum comprehendentium secans, $K\Theta$ producta cum sectione concurret [prop. XI]. similiter igitur etiam cum B concurret.

concurrat in Λ, M.

per Γ rectae ΛM parallela ducatur $A\Gamma B$; itaque [prop. XI] $K\Lambda \times \Lambda\Theta = A\Gamma^2$, $\Theta M \times MK = \Gamma B^2$. quare etiam $K\Lambda \times \Lambda\Theta = \Theta M \times MK$ et $\Lambda\Theta = KM$.

XVII.


Oppositarum coniugatarum communes sunt asymptotae.

sint oppositae coniugatae, quarum diametri coniugatae sint AB, $\Gamma\Delta$, centrum autem E. dico, earum asymptotas communes esse.

ἤχθωσαν γὰρ ἐφαπτόμεναι τῶν τομῶν διὰ τῶν Α, Β, Γ, Δ σημείων αἱ ΖΑΗ, ΗΔΘ, ΘΒΚ, ΚΓΖ· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΖΗΘΚ. ἐπεξεύχθωσαν οὖν αἱ ΖΕΘ, ΚΕΗ· εὐθεῖαι ἄρα εἰσὶ καὶ διάμετροι τοῦ παραλληλογράμμου, καὶ δίχα τέμνονται πᾶσαι κατὰ τὸ Ε σημεῖον. καὶ ἐπεὶ τὸ προς τῇ ΑΒ εἶδος ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓΔ τετραγώνῳ, ἴση δὲ ἡ ΓΕ τῇ ΕΔ, ἕκαστον ἄρα τῶν ἀπὸ ΖΑ, ΑΗ, ΚΒ, ΒΘ τέταρτόν ἐστι τοῦ πρὸς τῇ ΑΒ εἴδους. ἀσύμπτωτοι ἄρα εἰσὶ τῶν Α, Β τομῶν αἱ ΖΕΘ, ΚΕΗ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ τῶν Γ, Δ τομῶν αἱ αὐταί εἰσιν ἀσύμπτωτοι. τῶν ἄρα κατὰ συζυγίαν ἀντικειμένων κοιναί εἰσιν ἀσύμπτωτοι.

ιη'.

Ἐὰν μιᾷ τῶν κατὰ συζυγίαν ἀντικειμένων συμπίπτουσα εὐθεῖα ἐκβαλλομένη ἐφ' ἑκάτερα ἐκτὸς πίπτῃ τῆς τομῆς, συμπεσεῖται ἑκατέρᾳ τῶν ἐφεξῆς τομῶν καθ' ἓν μόνον σημεῖον.




ἔστωσαν κατὰ συζυγίαν ἀντικείμεναι τομαὶ αἱ Α, Β, Γ, Δ, καὶ τῇ Γ τις εὐθεῖα συμπιπτέτω ἡ ΕΖ καὶ ἐκβαλλομένη ἐφ' ἑκάτερα ἐκτὸς πιπτέτω τῆς τομῆς. λέγω, ὅτι συμπεσεῖται ἑκατέρᾳ τῶν Α, Β τομῶν καθ' ἓν μόνον σημεῖον.

ἔστωσαν γὰρ ἀσύμπτωτοι τῶν τομῶν αἱ ΗΘ, ΚΛ.

8. ἀπό] ὑπό V; corr. Memus. 15. Ἐάν] ἐν V; corr. Paris. gr. 2356; ἐὰν ἐν cp. 16. πίπτῃ] c, corr. ex πίπη m. 1 V.

nam sectionem contingentes per puncta A, B, Γ, Δ ducantur ZAH, $H\Delta\Theta$, ΘBK, $K\Gamma Z$; parallelogrammum igitur est $ZH\Theta K$ [prop. V]. ducantur igitur $ZE\Theta$, KEH; rectae igitur sunt diametrique parallelogrammi, et in puncto E omnes in binas partes aequales secantur [cfr. prop. XV]. et quoniam figura rectae AB adplicata



aequalis est $\Gamma\Delta^2$ [I, 56], et $\Gamma E = E\Delta$, singula quadrata ZA^2, AH^2, KB^2, $B\Theta^2$ quarta pars sunt figurae ad AB adplicatae. itaque $ZE\Theta$, KEH asymptotae sunt sectionum A, B [prop. I]. iam similiter demonstrabimus, easdem etiam sectionum Γ, Δ asymptotas esse. ergo oppositarum coniugatarum communes sunt asymptotae.

XVIII.

Si recta cum una oppositarum coniugatarum concurrens in utramque partem producta extra sectionem cadit, cum utraque deinceps positarum sectionum in uno solo puncto concurret.


sint sectiones oppositae coniugatae A, B, Γ, Δ, et cum Γ recta aliqua EZ concurrat productaque in utramque partem extra sectionem cadat. dico, eam cum utraque sectione A, B in uno solo puncto concurrere.

sint enim $H\Theta$, $K\Lambda$ asymptotae sectionum. itaque

η ΕΖ ἄρα συμπίπτει ἑκατέρᾳ τῶν ΗΘ, ΚΛ. φανερὸν οὖν, ὡς καὶ ταῖς Α, Β τομαῖς συμπεσεῖται καθ᾽ ἓν μόνον σημεῖον.

ιθ΄.

Ἐὰν τῶν κατὰ συζυγίαν ἀντικειμένων ἀχθῇ τις εὐθεῖα ἐπιψαύουσα, ἧς ἔτυχε τῶν τομῶν, συμπεσεῖται ταῖς ἐφεξῆς τομαῖς καὶ δίχα τμηθήσεται κατὰ τὴν ἁφήν.



ἔστωσαν κατὰ συζυγίαν ἀντικείμεναι αἱ Α, Β, Γ, Δ, καὶ τῆς Γ ἐφαπτέσθω τις εὐθεῖα ἡ ΕΓΖ. λέγω, ὅτι ἐκβαλλομένη συμπεσεῖται ταῖς Α, Β τομαῖς καὶ δίχα τμηθήσεται κατὰ τὸ Γ.

ὅτι μὲν οὖν συμπεσεῖται ταῖς Α, Β τομαῖς, φανερόν· συμπιπτέτω κατὰ τὰ Η, Θ. λέγω, ὅτι ἴση ἐστὶν ἡ ΓΗ τῇ ΓΘ.

ἤχθωσαν γὰρ αἱ ἀσύμπτωτοι τῶν τομῶν αἱ ΚΛ, ΜΝ. ἴση ἄρα ἡ ΕΗ τῇ ΖΘ καὶ ἡ ΓΕ τῇ ΓΖ, καὶ ὅλη ἡ ΓΗ τῇ ΓΘ ἐστιν ἴση.

κ΄.

Ἐὰν μιᾶς τῶν κατὰ συζυγίαν ἀντικειμένων εὐθεῖα ἐφάπτηται, καὶ διὰ τοῦ κέντρου αὐτῶν ἀχθῶσι δύο εὐθεῖαι, ὧν ἡ μὲν διὰ τῆς ἁφῆς, ἡ δὲ παρὰ τὴν ἐφαπτομένην, ἕως οὗ συμπέσῃ μιᾷ τῶν ἐφεξῆς τομῶν, ἡ κατὰ τὴν σύμπτωσιν ἐφαπτομένη τῆς τομῆς εὐθεῖα παράλληλος ἔσται τῇ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου

---

12. ΕΓΖ] scripsi; ΓΕΖ Vp. 25. ἡ] (alt.) c, ἡ ἡ V, ᾗ ἡ p. 27. κατά] κατὰ τά V; corr. pc.

EZ cum utraque $H\Theta$, $K\Lambda$ concurrit [prop. III]. manifestum igitur, eam etiam cum sectionibus A, B in uno solo puncto concurrere [prop. XVI].

XIX.

Si in oppositis coniugatis recta aliqua ducitur quamlibet sectionum contingens, cum sectionibus deinceps positis concurret et in puncto contactus in duas partes aequales secabitur.

sint A, B, Γ, Δ oppositae coniugatae, et sectionem Γ contingat recta aliqua $E\Gamma Z$. dico, eam productam cum sectionibus A, B concurrere et in Γ in duas partes aequales secari.

iam eam cum sectionibus A, B concurrere, manifestum est [prop. XVIII]. concurrat in H, Θ.

dico, esse $\Gamma H = \Gamma\Theta$.

ducantur enim asymptotae sectionum $K\Lambda$, MN. itaque $EH = Z\Theta$ [prop. XVI], $\Gamma E = \Gamma Z$ [prop. III] et $\Gamma H = \Gamma\Theta$.

XX.

Si recta unam oppositarum coniugatarum contingit, et per centrum earum duae rectae ducuntur, quarum altera per punctum contactus, altera contingenti parallela est, dum cum altera sectionum deinceps positarum conueniat, recta in puncto concursus sectionem contingens rectae per punctum contactus centrumque ductae parallela erit, rectae autem per puncta contactus centrumque ductae diametri coniugatae oppositarum erunt.

sint oppositae coniugatae, quarum diametri coniugatae sint AB, $\Gamma\Delta$, centrum autem X, et sectionem

ἠγμένῃ, αἱ δὲ διὰ τῶν ἁφῶν καὶ τοῦ κέντρου συζυγεῖς ἔσονται διάμετροι τῶν ἀντικειμένων.


ἔστωσαν κατὰ συζυγίαν ἀντικείμεναι, ὧν διάμετροι συζυγεῖς αἱ AB, $\Gamma\Delta$, κέντρον δὲ τὸ X, καὶ τῆς A τομῆς ἤχθω ἐφαπτομένη ἡ EZ καὶ ἐκβληθεῖσα συμπιπτέτω τῇ ΓX κατὰ τὸ T, καὶ ἐπεζεύχθω ἡ EX καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ξ, καὶ διὰ τοῦ X τῇ EZ παράλληλος ἤχθω ἡ XH, καὶ διὰ τοῦ H ἐφαπτομένη τῆς τομῆς ἤχθω ἡ ΘH. λέγω, ὅτι παράλληλός ἐστιν ἡ ΘH τῇ XE, αἱ δὲ HO, $E\Xi$ συζυγεῖς εἰσι διάμετροι.

ἤχθωσαν γὰρ τεταγμένως αἱ KE, $H\Lambda$, $\Gamma P\Pi$, παρ' ἃς δὲ δύνανται αἱ καταγόμεναι, ἔστωσαν αἱ AM, ΓN. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ BA πρὸς AM, ἡ $N\Gamma$ πρὸς $\Gamma\Delta$, ἀλλ' ὡς μὲν ἡ BA πρὸς AM, τὸ ὑπὸ XKZ πρὸς τὸ ἀπὸ KE, ὡς δὲ ἡ $N\Gamma$ πρὸς $\Gamma\Delta$, τὸ ἀπὸ $H\Lambda$ πρὸς τὸ ὑπὸ $X\Lambda\Theta$, καὶ ὡς ἄρα τὸ ὑπὸ XKZ πρὸς τὸ ἀπὸ EK, τὸ ἀπὸ $H\Lambda$ πρὸς τὸ ὑπο $X\Lambda\Theta$. ἀλλὰ τὸ μὲν ὑπὸ XKZ πρὸς τὸ ἀπὸ KE τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ τῆς XK πρὸς KE καὶ τοῦ τῆς ZK πρὸς KE, τὸ δὲ ἀπὸ $H\Lambda$ πρὸς τὸ ὑπὸ $X\Lambda\Theta$ τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ, ὃν ἔχει ἡ $H\Lambda$ πρὸς ΛX, καὶ ἡ $H\Lambda$ πρὸς $\Lambda\Theta$· ὁ ἄρα συγκείμενος λόγος ἐκ τοῦ τῆς XK πρὸς KE καὶ τῆς ZK πρὸς KE ὁ αὐτός ἐστι τῷ συγκειμένῳ λόγῳ ἐκ τοῦ τῆς $H\Lambda$ πρὸς ΛX καὶ τοῦ τῆς $H\Lambda$ πρὸς $\Lambda\Theta$· ὧν ὁ τῆς ZK πρὸς KE λόγος ὁ αὐτός ἐστι τῷ τῆς $H\Lambda$ πρὸς ΛX λόγῳ· ἑκάστη γὰρ τῶν EK, KZ, ZE ἑκάστῃ τῶν $X\Lambda$, ΛH, HX παράλληλός ἐστι. λοιπὸς ἄρα ὁ τῆς XK πρὸς KE

---

6. τό] p, om. V, add. e corr. vc. 9. ἐστι V; corr. pc. 10. $E\Xi$] $EZ\Xi$ V; corr. p? ($\overline{\zeta\xi}$?). 15. ἡ] c, e corr. m. 1 V.

A contingens ducatur EZ productaque cum ΓX in T concurrat, et ducatur EX producaturque ad Ξ, et per X rectae EZ parallela ducatur XH, per H autem



sectionem contingens ducatur ΘH. dico, esse ΘH rectae XE parallelam et HO, $E\Xi$ coniugatas esse diametros.

ducantur enim ordinate KE, $H\Lambda$, $\Gamma P\Pi$, parametri autem sint AM, ΓN. iam quoniam est

$$BA : AM = N\Gamma : \Gamma\Delta \text{ [I, 56]},$$

et $BA : AM = XK \times KZ : KE^2$,

$$N\Gamma : \Gamma\Delta = H\Lambda^2 : X\Lambda \times \Lambda\Theta \text{ [I, 37]},$$

erit etiam $XK \times KZ : EK^2 = H\Lambda^2 : X\Lambda \times \Lambda\Theta$. uerum $XK \times KZ : KE^2 = (XK : KE) \times (ZK : KE)$ et $H\Lambda^2 : X\Lambda \times \Lambda\Theta = (H\Lambda : \Lambda X) \times (H\Lambda : \Lambda\Theta)$. itaque

$(XK : KE) \times (ZK : KE) = (H\Lambda : \Lambda X) \times (H\Lambda : \Lambda\Theta)$. quarum rationum est $ZK : KE = H\Lambda : \Lambda X$ [Eucl. I, 29; VI, 4]; nam singulae EK, KZ, ZE singulis $X\Lambda$, ΛH, HX parallelae sunt [I def. 6]. itaque

$$XK : KE = H\Lambda : \Lambda\Theta.$$

λόγος ὁ αὐτός ἐστι τῷ τῆς ΗΛ πρὸς ΛΘ. καὶ περὶ ἴσας γωνίας τὰς πρὸς τοῖς Κ, Λ ἀνάλογόν εἰσιν αἱ πλευραί· ὅμοιον ἄρα ἐστὶ τὸ ΕΚΧ τρίγωνον τῷ ΗΘΛ καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΕΧΚ τῇ ὑπὸ ΛΗΘ. ἔστι δὲ καὶ ὅλη ἡ ὑπὸ ΚΧΗ τῇ ὑπὸ ΛΗΧ ἴση· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΕΧΗ τῇ ὑπὸ ΘΗΧ ἐστιν ἴση. παράλληλος ἄρα ἐστὶν ἡ ΕΧ τῇ ΗΘ.

πεποιήσθω δή, ὡς ἡ ΠΗ πρὸς ΗΡ, οὕτως ἡ ΘΗ πρὸς Σ· ἡ Σ ἄρα ἡμίσειά ἐστι τῆς παρ' ἣν δύνανται αἱ ἐπὶ τὴν ΗΟ διάμετρον καταγόμεναι ἐν ταῖς Γ, Δ τομαῖς. καὶ ἐπεὶ τῶν Α, Β τομῶν δευτέρα διάμετρός ἐστιν ἡ ΓΔ, καὶ συμπίπτει αὐτῇ ἡ ΕΤ, τὸ ἄρα ὑπὸ τῆς ΤΧ καὶ τῆς ΕΚ ἴσον ἐστὶ τῷ ἀπὸ ΓΧ· ἐὰν γὰρ ἀπὸ τοῦ Ε τῇ ΚΧ παράλληλον ἄγωμεν, τὸ ὑπὸ τῆς ΤΧ καὶ τῆς ἀπολαμβανομένης ὑπὸ τῆς παραλλήλου ἴσον ἔσται τῷ ἀπὸ ΓΧ. διὰ δὲ τοῦτό ἐστιν, ὡς ἡ ΤΧ πρὸς ΕΚ, τὸ ἀπὸ ΤΧ πρὸς τὸ ἀπὸ ΧΓ. ἀλλ' ὡς μὲν ἡ ΤΧ πρὸς ΕΚ, ἡ ΤΖ πρὸς ΖΕ, τουτέστι τὸ ΤΧΖ τρίγωνον πρὸς τὸ ΕΖΧ, ὡς δὲ τὸ ἀπὸ ΤΧ πρὸς τὸ ἀπὸ ΓΧ, τὸ ΧΤΖ τρίγωνον πρὸς τὸ ΧΓΠ, τουτέστι πρὸς τὸ ΗΘΧ. ὡς ἄρα τὸ ΤΧΖ πρὸς τὸ ΕΖΧ, τὸ ΤΖΧ πρὸς τὸ ΧΗΘ. ἴσον ἄρα τὸ ΗΘΧ τρίγωνον τῷ ΧΕΖ. ἔχει δὲ καὶ τὴν ὑπὸ ΘΗΧ γωνίαν τῇ ὑπὸ ΧΕΖ γωνίᾳ ἴσην· παράλληλος γάρ ἐστιν ἡ μὲν ΕΧ τῇ ΗΘ, ἡ δὲ ΕΖ τῇ ΗΧ. ἀντιπεπόνθασιν ἄρα αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας. ἔστιν ἄρα

---

10. *πεποιείσθω* V; corr. p c. 14. *συμπίπτη* V; corr. p. 16. *ἄγωμεν*] *ἀγομένην* V; corr. Halley; *ἀγάγωμεν* p. 26. *ὑπό*] p, om. V. *ἴσην*] om. V; corr. p.

et latera angulos aequales ad K, Λ positos comprehendentia proportionalia sunt; similes igitur sunt trianguli EKX, $H\Theta\Lambda$ et angulos aequales habebunt, sub quibus latera correspondentia subtendunt [Eucl. VI, 6]. erit igitur $\angle EXK = \angle \Lambda H\Theta$. est autem etiam

$$\angle KXH = \angle \Lambda HX \text{ [Eucl. I, 29]};$$

quare etiam $\angle EXH = \angle \Theta HX$. ergo EX rectae $H\Theta$ parallela est [Eucl. I, 27].

iam fiat $\Pi H : HP = \Theta H : \Sigma$. itaque Σ dimidia est parametrus diametri HO in sectionibus Γ, Δ [I, 51]. et quoniam sectionum A, B altera diametrus est $\Gamma\Delta$ [I, 56], et cum ea concurrit ET, erit

$$TX \times EK = \Gamma X^2;$$

nam si ab E rectam rectae KX parallelam duxerimus, rectangulum comprehensum recta TX rectaque a parallela abscisa aequale erit quadrato ΓX [I, 38]. propterea autem est $TX : EK = TX^2 : X\Gamma^2$ [Eucl. VI, 17; V def. 9]. est autem [Eucl. VI, 4]

$TX : EK = TZ : ZE = \triangle TXZ : EZX$ [Eucl. VI, 1], et [Eucl. VI, 19]

$TX^2 : \Gamma X^2 = XTZ : X\Gamma\Pi = XTZ : H\Theta X$ [u. I, 43]. itaque $TXZ : EZX = TZX : XH\Theta$. quare [Eucl. V, 9] $H\Theta X = XEZ$. habent autem etiam $\angle \Theta HX = XEZ$ [Eucl. I, 29]; nam parallelae sunt EX, $H\Theta$ et EZ, HX. itaque latera aequales angulos comprehendentia in contraria proportione sunt [Eucl. VI, 15]; est igitur $H\Theta : EX = EZ : HX$; quare [Eucl. VI, 16]

$$\Theta H \times HX = XE \times EZ.$$

et quoniam est $\Sigma : \Theta H = PH : H\Pi$, et

$$PH : H\Pi = XE : EZ \text{ [Eucl. VI, 4]}$$

(parallelae enim sunt), erit etiam $\Sigma : \Theta H = XE : EZ$.

ὡς ἡ ΗΘ πρὸς τὴν ΕΧ, ἡ ΕΖ πρὸς τὴν ΗΧ· ἴσον ἄρα τὸ ὑπὸ ΘΗΧ τῷ ὑπὸ ΧΕΖ. καὶ ἐπεί ἐστιν, ὡς ἡ Σ πρὸς τὴν ΘΗ, ἡ ΡΗ πρὸς ΗΠ, ὡς δὲ ἡ ΡΗ πρὸς ΗΠ, ἡ ΧΕ πρὸς ΕΖ· παράλληλοι γάρ· καὶ ὡς ἄρα ἡ Σ πρὸς τὴν ΘΗ, ἡ ΧΕ πρὸς ΕΖ. ἀλλ' ὡς μὲν ἡ Σ πρὸς ΘΗ, τῆς ΧΗ κοινοῦ ὕψους λαμβανομένης τὸ ὑπὸ Σ, ΧΗ πρὸς τὸ ὑπὸ ΘΗΧ, ὡς δὲ ἡ ΧΕ πρὸς ΕΖ, τὸ ἀπὸ ΧΕ πρὸς τὸ ὑπὸ ΧΕΖ. καὶ ὡς ἄρα τὸ ὑπὸ Σ, ΧΗ πρὸς τὸ ὑπὸ ΘΗΧ, τὸ ἀπὸ ΧΕ πρὸς τὸ ὑπὸ ΧΕΖ. ἐναλλάξ, ὡς τὸ ὑπὸ Σ, ΗΧ πρὸς τὸ ἀπὸ ΕΧ, τὸ ὑπὸ ΘΗΧ πρὸς τὸ ὑπὸ ΖΕΧ. ἴσον δὲ τὸ ὑπὸ ΘΗΧ τῷ ὑπὸ ΧΕΖ· ἴσον ἄρα καὶ τὸ ὑπὸ Σ, ΗΧ τῷ ἀπὸ ΕΧ. καί ἐστι τὸ μὲν ὑπὸ Σ, ΗΧ τέταρτον τοῦ παρὰ τὴν ΗΟ εἴδους· ἥ τε γὰρ ΗΧ τῆς ΗΟ ἐστιν ἡμίσεια, καὶ ἡ Σ τῆς παρ' ἣν δύνανται· τὸ δὲ ἀπὸ ΕΧ τέταρτον τοῦ ἀπὸ τῆς ΕΞ· ἴση γὰρ ἡ ΕΧ τῇ ΧΞ. τὸ ἄρα ἀπὸ τῆς ΕΞ ἴσον ἐστὶ τῷ πρὸς τῇ ΗΟ εἴδει. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ ΗΟ δύναται τὸ παρὰ τὴν ΕΞ εἶδος. αἱ ἄρα ΕΞ, ΗΟ συζυγεῖς εἰσι διάμετροι τῶν Α, Β, Γ, Δ ἀντικειμένων.

κα΄.

Τῶν αὐτῶν ὑποκειμένων δεικτέον, ὅτι ἡ σύμπτωσις τῶν ἐφαπτομένων πρὸς μίαν τῶν ἀσυμπτώτων ἐστίν.

ἔστωσαν κατὰ συζυγίαν ἀντικείμεναι τομαί, ὧν αἱ διάμετροι αἱ ΑΒ, ΓΔ, καὶ ἐφαπτόμεναι ἤχθωσαν αἱ ΑΕ, ΕΓ. λέγω, ὅτι το Ε σημεῖον προς τῇ ἀσυμπτώτῳ ἐστίν.

---

1. ἡ] (pr.) om. V; corr. p. ἡ] (alt.) τῇ ΗΘ ἡ V; corr. p. 11. ΖΕΧ] c, Ε e corr. m. 1 V. 15. ἡ Σ] ἧς V; corr. p. 19. ἡ] om. V; corr. p. 20. ΗΟ] ΗΟΣ V; corr. p. 24. μίαν] μιᾷ? 25. τομαί] pv, αἱ τομαί c et deleto αἱ V.

est autem, communi altitudine sumpta XH,

$$\Sigma : \Theta H = \Sigma \times XH : \Theta H \times HX,$$

et $XE : EZ = XE^2 : XE \times EZ$. quare etiam

$$\Sigma \times XH : \Theta H \times HX = XE^2 : XE \times EZ.$$

permutando [Eucl. V, 16]

$$\Sigma \times XH : EX^2 = \Theta H \times HX : ZE \times EX.$$


uerum $\Theta H \times HX = XE \times EZ$. quare etiam [Eucl. V, 14] $\Sigma \times HX = EX^2$. et $\Sigma \times HX$ quarta pars est figurae rectae HO adplicatae; nam et HX rectae HO [I, 30] et Σ parametri dimidia est; et

$$EX^2 = \tfrac{1}{4} E\Xi^2;$$

nam $EX = X\Xi$ [I, 30]. itaque $E\Xi^2$ aequale est figurae rectae HO adplicatae. iam similiter demonstrabimus, etiam HO quadratam aequalem esse figurae rectae $E\Xi$ adplicatae. ergo $E\Xi$, HO diametri coniugatae sunt oppositarum A, B, Γ, Δ [I, 56].

XXI.

Iisdem suppositis demonstrandum, concursum contingentium in una asymptotarum esse.



sint sectiones oppositae coniugatae, quarum diametri sint AB, $\Gamma\Delta$, et contingentes ducantur AE, $E\Gamma$. dico, punctum E in asymptota esse.

nam quoniam ΓX^2 aequale est quartae parti figurae ad AB adplicatae [I, 56], et $\Gamma X^2 = AE^2$, etiam AE^2 quartae parti figurae ad AB adplicatae aequale est. ducatur EX;

ἐπεὶ γὰρ τὸ ἀπὸ ΓΧ ἴσον ἐστὶ τῷ τετάρτῳ τοῦ πρὸς τῇ ΑΒ εἴδους, τῷ δὲ ἀπὸ ΓΧ ἴσον ἐστὶ τὸ ἀπὸ ΑΕ, καὶ τὸ ἀπὸ ΑΕ ἄρα ἴσον ἐστὶ τῷ τετάρτῳ μέρει τοῦ πρὸς τῇ ΑΒ εἴδους. ἐπεζεύχθω ἡ ΕΧ· ἀσύμπτωτος ἄρα ἐστὶν ἡ ΕΧ. τὸ ἄρα Ε σημεῖον πρὸς τῇ ἀσυμπτώτῳ ἐστίν.

κβ'.

Ἐὰν ἐν ταῖς κατὰ συζυγίαν ἀντικειμέναις ἐκ τοῦ κέντρου εὐθεῖα ἀχθῇ πρὸς ὁποιανοῦν τῶν τομῶν, καὶ ταύτῃ παράλληλος ἀχθῇ συμπίπτουσα μιᾷ τῶν ἐφεξῆς τομῶν καὶ ταῖς ἀσυμπτώτοις, τὸ περιεχόμενον ὑπὸ τῶν τῆς ἀχθείσης τμημάτων τῶν γινομένων μεταξὺ τῆς τομῆς καὶ τῶν ἀσυμπτώτων ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τετραγώνῳ.

ἔστωσαν κατὰ συζυγίαν ἀντικείμεναι τομαὶ αἱ Α, Β, Γ, Δ, ἀσύμπτωτοι δὲ τῶν τομῶν ἔστωσαν αἱ ΧΕΖ, ΧΗΘ, καὶ ἀπὸ τοῦ κέντρου τοῦ Χ διήχθω τις εὐθεῖα ἡ ΧΓΔ, καὶ παράλληλος αὐτῇ ἤχθω τέμνουσα τήν τε ἐφεξῆς τομὴν καὶ τὰς ἀσυμπτώτους ἡ ΘΕ. λέγω, ὅτι τὸ ὑπὸ ΕΚΘ ἴσον ἐστὶ τῷ ἀπὸ ΓΧ.

τετμήσθω δίχα ἡ ΚΛ κατὰ τὸ Μ, καὶ ἐπιζευχθεῖσα ἡ ΜΧ ἐκβεβλήσθω· διάμετρος ἄρα ἐστὶν ἡ ΑΒ τῶν Α, Β τομῶν. καὶ ἐπεὶ ἡ κατὰ τὸ Α ἐφαπτομένη παράλληλός ἐστι τῇ ΕΘ, ἡ ἄρα ΕΘ ἐπὶ τὴν ΑΒ τεταγμένως ἐστὶ κατηγμένη. καὶ κέντρον τὸ Χ· αἱ ΑΒ, ΓΔ ἄρα συζυγεῖς εἰσι διάμετροι. τὸ ἄρα ἀπὸ ΓΧ ἴσον ἐστὶ τῷ τετάρτῳ τοῦ παρὰ τὴν ΑΒ εἴδους. τῷ δὲ τετάρτῳ μέρει τοῦ παρὰ τὴν ΑΒ εἴδους

4. τοῦ] bis V, corr. cvp. 12. τῶν] (alt.) addidi; om. V. 17. ΧΕΖ, ΧΗΘ] ΕΧΖ, ΗΧΘ p, Halley cum Commandino; sed cfr. lin. 18. 19. ΘΕ] ΘΧ V; corr. Memus (et); ΘΚΕ p.


ea igitur asymptota est [prop. I]. ergo E punctum in asymptota est.

XXII.

Si in oppositis coniugatis e centro recta ad quamuis sectionum ducitur, eique parallela recta ducitur cum una sectionum deinceps positarum asymptotisque concurrens, rectangulum comprehensum partibus rectae ductae inter sectionem asymptotasque ortis aequale est quadrato radii.

sint A, B, Γ, Δ sectiones oppositae coniugatae, asymptotae autem sectionum sint XEZ, $XH\Theta$, et a centro X ducatur recta $X\Gamma\Delta$, eique parallela ducatur ΘE secans et sectionem deinceps positam et asymptotas. dico, esse $EK \times K\Theta = \Gamma X^2$.

$K\Lambda$ in M in duas partes aequales secetur, ductaque MX producatur; AB igitur diametrus est sectionum A, B [I, 51 coroll.]. et quoniam recta in A contingens rectae $E\Theta$ parallela est [prop. V], $E\Theta$ ad AB ordinate ducta est. et X centrum est; itaque AB, $\Gamma\Delta$ diametri coniugatae sunt [I def. 6]. quare ΓX^2 aequale est quartae parti figurae ad AB adplicatae [I, 56]. uerum quartae parti figurae ad AB adplicatae aequale est $\Theta K \times KE$ [prop. X]. ergo etiam



$$\Theta K \times KE = \Gamma X^2.$$

ἴσον ἐστὶ τὸ ὑπὸ ΘΚΕ· καὶ τὸ ὑπὸ ΘΚΕ ἄρα ἴσον ἐστὶ τῷ ἀπὸ ΓΧ.

κγ'.

Ἐὰν ἐν ταῖς κατὰ συζυγίαν ἀντικειμέναις ἐκ τοῦ κέντρου τις ἀχθῇ πρὸς ὁποιανοῦν τῶν τομῶν, καὶ ταύτῃ παράλληλος ἀχθῇ συμπίπτουσα ταῖς ἐφεξῆς τρισὶ τομαῖς, τὸ περιεχόμενον ὑπὸ τῶν τῆς ἀχθείσης τμημάτων τῶν γινομένων μεταξὺ τῶν τριῶν τομῶν διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τετραγώνου.

ἔστωσαν κατὰ συζυγίαν ἀντικείμεναι τομαὶ αἱ Α, Β, Γ, Δ, κέντρον δὲ τῶν τομῶν ἔστω τὸ Χ, καὶ ἀπὸ τοῦ Χ πρὸς ὁποιανοῦν τῶν τομῶν προσπιπτέτω τις εὐθεῖα ἡ ΓΧ, καὶ τῇ ΓΧ παράλληλος ἤχθω τέμνουσα τὰς ἐφεξῆς τρεῖς τομὰς ἡ ΚΛ. λέγω, ὅτι τὸ ὑπὸ ΚΜΛ διπλάσιόν ἐστι τοῦ ἀπὸ ΓΧ.

ἤχθωσαν ἀσύμπτωτοι τῶν τομῶν αἱ ΕΖ, ΗΘ· τὸ ἄρα ἀπὸ ΓΧ ἴσον ἐστὶν ἑκατέρῳ τῶν ὑπὸ ΘΜΕ, ΘΚΕ. τὸ δὲ ὑπὸ ΘΜΕ μετὰ τοῦ ὑπὸ ΘΚΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΛΜΚ διὰ τὸ τὰς ἄκρας ἴσας εἶναι. καὶ τὸ ὑπο ΛΜΚ ἄρα διπλάσιόν ἐστι τοῦ ἀπὸ ΓΧ.

κδ'.


Ἐὰν παραβολῇ δύο εὐθεῖαι συμπίπτωσιν ἑκατέρα κατὰ δύο σημεῖα, μηδετέρας δὲ αὐτῶν ἡ σύμπτωσις ὑπὸ τῶν τῆς ἑτέρας συμπτώσεων περιέχηται, συμπεσοῦνται ἀλλήλαις αἱ εὐθεῖαι ἐκτὸς τῆς τομῆς.

ἔστω παραβολὴ ἡ ΑΒΓΔ, καὶ τῇ ΑΒΓΔ δύο εὐθεῖαι συμπιπτέτωσαν αἱ ΑΒ, ΓΔ, μηδετέρας δὲ αὐτῶν ἡ σύμπτωσις υπὸ τῶν τῆς ἑτέρας συμπτώσεων

12. ὁποιανοῦν] ποιανοῦν V; corr. p. 16. σύμπτωτοι V; corr. p. 28. συμπτώσεως V; corr. m. 2 v.

XXIII.

Si in oppositis coniugatis e centro recta ad quamuis sectionum ducitur, eique parallela recta ducitur cum tribus sectionibus deinceps positis concurrens, rectangulum comprehensum partibus rectae ductae inter tres sectiones ortis duplo maius est quadrato radii.



sint A, B, Γ, Δ sectiones oppositae coniugatae, centrum autem sectionum sit X, et a X ad quamuis sectionum adcidat recta aliqua ΓX, rectaeque ΓX parallela ducatur $K\Lambda$ tres sectiones deinceps positas secans. dico, esse $KM \times M\Lambda = 2\,\Gamma X^2$.

ducantur asymptotae sectionum EZ, $H\Theta$; itaque $\Gamma X^2 = \Theta M \times ME$[prop. XXII] $= \Theta K \times KE$[prop. XI]. est autem $\Theta M \times ME + \Theta K \times KE = \Lambda M \times MK$ [u. Eutocius], quia extrema aequalia sunt [prop. VIII et XVI]. ergo etiam $\Lambda M \times MK = \Gamma X^2$.

XXIV.

Si cum parabola duae rectae concurrunt singulae in binis punctis, neutriusque earum punctum concursus punctis concursus alterius continetur, rectae inter se extra sectionem concurrent.

sit parabola $AB\Gamma\Delta$, et cum $AB\Gamma\Delta$ duae rectae concurrant AB, $\Gamma\Delta$, neutriusque earum punctum


περιεχέσθω. λέγω, ὅτι ἐκβαλλόμεναι συμπεσοῦνται ἀλλήλαις.

ἤχθωσαν διὰ τῶν Β, Γ διάμετροι τῆς τομῆς αἱ ΕΒΖ, ΗΓΘ· παράλληλοι ἄρα εἰσὶ καὶ καθ' ἓν μόνον σημεῖον ἑκατέρα τὴν τομὴν τέμνει. ἐπεζεύχθω δὴ ἡ ΒΓ· αἱ ἄρα ὑπὸ ΕΒΓ, ΒΓΗ γωνίαι δύο ὀρθαῖς ἴσαι εἰσίν, αἱ δὲ ΔΓ, ΒΑ ἐκβαλλόμεναι ἐλάττονας ποιοῦσι δύο ὀρθῶν. συμπεσοῦνται ἄρα ἀλλήλαις ἐκτὸς τῆς τομῆς.

κε'.

Ἐὰν ὑπερβολῇ δύο εὐθεῖαι συμπίπτωσιν ἑκατέρα κατὰ δύο σημεῖα, μηδετέρας δὲ αὐτῶν ἡ σύμπτωσις ὑπὸ τῶν τῆς ἑτέρας συμπτώσεων περιέχηται, συμπεσοῦνται ἀλλήλαις αἱ εὐθεῖαι ἐκτὸς μὲν τῆς τομῆς, ἐντὸς δὲ τῆς περιεχούσης τὴν τομὴν γωνίας.

ἔστω ὑπερβολή, ἧς ἀσύμπτωτοι αἱ ΑΒ, ΑΓ, καὶ τεμνέτωσαν δύο εὐθεῖαι τὴν τομὴν αἱ ΕΖ, ΗΘ, καὶ μηδετέρας αὐτῶν ἡ σύμπτωσις ὑπὸ τῶν τῆς ἑτέρας περιεχέσθω. λέγω, ὅτι αἱ ΕΖ, ΗΘ ἐκβαλλόμεναι συμπεσοῦνται ἐκτὸς μὲν τῆς τομῆς, ἐντὸς δὲ τῆς ὑπὸ ΓΑΒ γωνίας.




ἐπιζευχθεῖσαι γὰρ αἱ ΑΖ, ΑΘ ἐκβεβλήσθωσαν, καὶ ἐπεζεύχθω ἡ ΖΘ. καὶ ἐπεὶ αἱ ΕΖ, ΗΘ ἐκβαλλόμεναι τέμνουσι τὰς ὑπὸ ΑΖΘ, ΑΘΖ γωνίας, εἰσὶ δὲ αἱ

6. ΒΓΗ] p, om. V. 13. συμπτώσεως V; corr. Memus. 15. γωνίαν V; corr. p.

concursus punctis concursus alterius contineatur. dico, eas productas demum inter se concursuras esse.

per B, Γ diametri sectionis ducantur EBZ, $H\Gamma\Theta$; itaque parallelae sunt [I, 51 coroll.] et in uno tantum



puncto singulae sectionem secant [I, 26]. iam ducatur $B\Gamma$; itaque $\angle EB\Gamma + H\Gamma B$ duobus rectis aequales sunt [Eucl. I, 29], $\Delta\Gamma$ et BA autem productae angulos duobus rectis minores efficiunt. ergo extra sectionem inter se concurrent [Eucl. I αἰτ. 5].

XXV.

Si cum hyperbola duae rectae concurrunt singulae in binis punctis, neutriusque earum punctum concursus punctis concursus alterius continetur, rectae inter se concurrent extra sectionem, sed intra angulum sectionem comprehendentem.

sit hyperbola, cuius asymptotae sint AB, $A\Gamma$, duaeque rectae EZ, $H\Theta$ sectionem secent, neutriusque earum punctum concursus punctis concursus alterius contineatur. dico, EZ, $H\Theta$ productas extra sectionem, sed intra angulum ΓAB concursuras esse.

εἰρημέναι γωνίαι δύο ὀρθῶν ἐλάσσονες, αἱ EZ, $H\Theta$ ἐκβαλλόμεναι συμπεσοῦνται ἀλλήλαις ἐκτὸς μὲν τῆς τομῆς, ἐντὸς δὲ τῆς ὑπὸ $BA\Gamma$ γωνίας.

ὁμοίως δὴ δείξομεν, κἂν ἐφαπτόμεναι ὦσι τῶν τομῶν αἱ EZ, $H\Theta$.

κϛ'.

Ἐὰν ἐν ἐλλείψει ἢ κύκλου περιφερείᾳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας μὴ διὰ τοῦ κέντρου οὖσαι, οὐ τέμνουσιν ἀλλήλας δίχα.

εἰ γὰρ δυνατόν, ἐν ἐλλείψει ἢ κύκλου περιφερείᾳ δύο εὐθεῖαι αἱ $\Gamma\Delta$, EZ μὴ διὰ τοῦ κέντρου οὖσαι τεμνέτωσαν ἀλλήλας δίχα κατὰ τὸ H, καὶ ἔστω κέντρον τῆς τομῆς τὸ Θ, καὶ ἐπιζευχθεῖσα ἡ $H\Theta$ ἐκβεβλήσθω ἐπὶ τὰ A, B.

ἐπεὶ οὖν διάμετρός ἐστιν ἡ AB τὴν EZ δίχα τέμνουσα, ἡ ἄρα κατὰ τὸ A ἐφαπτομένη παράλληλός ἐστι τῇ EZ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ τῇ $\Gamma\Delta$. ὥστε καὶ ἡ EZ παράλληλός ἐστι τῇ $\Gamma\Delta$· ὅπερ ἀδύνατον. οὐκ ἄρα αἱ $\Gamma\Delta$, EZ δίχα τέμνουσιν ἀλλήλας.

κζ'.

Ἐὰν ἐλλείψεως ἢ κύκλου περιφερείας δύο εὐθεῖαι ἐπιψαύωσιν, ἐὰν μὲν ἡ τὰς ἁφὰς ἐπιζευγνύουσα διὰ τοῦ κέντρου τῆς τομῆς ᾖ, παράλληλοι ἔσονται αἱ ἐφαπτόμεναι, ἐὰν δὲ μή, συμπεσοῦνται ἐπὶ τὰ αὐτὰ μέρη τοῦ κέντρου.

ἔστω ἔλλειψις ἢ κύκλου περιφέρεια ἡ AB, καὶ ἐφαπτέσθωσαν αὐτῆς αἱ $\Gamma A\Delta$, EBZ, καὶ ἐπεζεύχθω

---

4. κἄν] καί V; corr. p. 14. τά] τό V; corr. p. 19. δίχα] om. V; corr. p. 27. EBZ] BEZ V; corr. p.


ductae enim AZ, $A\Theta$ producantur, ducaturque $Z\Theta$. et quoniam EZ, $H\Theta$ productae angulos $AZ\Theta$, $A\Theta Z$ secant, hi autem anguli duobus rectis minores sunt [Eucl. I, 17], EZ, $H\Theta$ productae inter se concurrent extra sectionem, sed intra angulum $BA\Gamma$.

iam similiter hoc demonstrabimus, etiam si EZ, $H\Theta$ sectiones contingunt.

XXVI.

Si in ellipsi uel circulo duae rectae inter se secant non per centrum positae, non in binas partes aequales inter se secant.

nam si fieri potest, in ellipsi uel circulo duae rectae $\Gamma\Delta$, EZ non per centrum positae inter se in binas partes aequales secent in H, centrum autem sectionis sit Θ, ductaque $H\Theta$ ad A, B producatur.



iam quoniam AB diametrus est rectam EZ in duas partes aequales secans, recta in A contingens rectae EZ parallela est [prop. VI]. similiter igitur demonstrabimus, eam etiam rectae $\Gamma\Delta$ parallelam esse. quare etiam EZ rectae $\Gamma\Delta$ parallela est [Eucl. I, 30]; quod fieri non potest. ergo $\Gamma\Delta$, EZ inter se in binas partes aequales non secant.

XXVII.

Si ellipsim uel circulum duae rectae contingunt, rectae contingentes parallelae erunt, si recta puncta contactus coniungens per centrum sectionis cadit, sin minus, in eadem parte centri concurrent.

ἡ ΑΒ καὶ ἔστω πρότερον διὰ τοῦ κέντρου. λέγω, ὅτι παράλληλός ἐστιν ἡ ΓΔ τῇ ΕΖ.

ἐπεὶ γὰρ διάμετρός ἐστιν ἡ ΑΒ τῆς τομῆς, καὶ ἐφάπτεται κατὰ τὸ Α ἡ ΓΔ, ἡ ΓΔ ἄρα παράλληλός ἐστι ταῖς ἐπὶ τὴν ΑΒ τεταγμένως κατηγμέναις. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΒΖ παράλληλός ἐστι ταῖς αὐταῖς. καὶ ἡ ΓΔ ἄρα τῇ ΕΖ παράλληλός ἐστι.

μὴ ἐρχέσθω δὴ ἡ ΑΒ διὰ τοῦ κέντρου, ὡς ἔχει ἐπὶ τῆς δευτέρας καταγραφῆς, καὶ ἤχθω διάμετρος ἡ ΑΘ, καὶ διὰ τοῦ Θ ἐφαπτομένη ἡ ΚΘΛ· παράλληλος ἄρα ἐστὶν ἡ ΚΛ τῇ ΓΔ. ἡ ἄρα ΕΖ ἐκβαλλομένη συμπεσεῖται τῇ ΓΔ ἐπὶ τὰ αὐτὰ μέρη τοῦ κέντρου, ἐν οἷς ἐστιν ἡ ΑΒ.

κη'.

Ἐὰν ἐν κώνου τομῇ ἢ κύκλου περιφερείᾳ δύο παραλλήλους εὐθείας εὐθεῖά τις δίχα τέμνῃ, διάμετρος ἔσται τῆς τομῆς.


ἐν γὰρ κώνου τομῇ δύο εὐθεῖαι παράλληλοι αἱ ΑΒ, ΓΔ δίχα τετμήσθωσαν κατὰ τὰ Ε, Ζ, καὶ ἐπιζευχθεῖσα ἡ ΕΖ ἐκβεβλήσθω. λέγω, ὅτι διάμετρός ἐστι τῆς τομῆς.

εἰ γὰρ μή, ἔστω, εἰ δυνατόν, ἡ ΗΖΘ. ἡ ἄρα κατὰ τὸ Η ἐφαπτομένη παράλληλός ἐστι τῇ ΑΒ. ὥστε ἡ αὐτὴ παράλληλός ἐστι τῇ ΓΔ. καί ἐστι διάμετρος ἡ ΗΘ· ἴση ἄρα ἡ ΓΘ τῇ ΘΔ· ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ἡ ΓΕ τῇ ΕΔ ἴση. οὐκ ἄρα διάμετρός ἐστιν

24. ΗΖΘ] p, ΗΘΖ V.

sit ellipsis uel circulus AB, contingantque $\Gamma A \Delta$, EBZ, et ducatur AB cadatque prius per centrum. dico, $\Gamma\Delta$ et EZ parallelas esse.

nam quoniam AB diametrus sectionis est, $\Gamma\Delta$ autem in A contingit, $\Gamma\Delta$ rectis ad AB ordinate ductis parallela est [I, 17]. eadem igitur de causa etiam BZ iisdem parallela est. ergo etiam $\Gamma\Delta$ et EZ parallelae sunt [Eucl. I, 30].



iam AB per centrum ne cadat, ut in secunda figura est, et ducatur diametrus $A\Theta$, per Θ autem contingens $K\Theta\Lambda$; itaque $K\Lambda$ et $\Gamma\Delta$ parallelae sunt [u. supra]. ergo EZ producta cum $\Gamma\Delta$ concurret in eadem parte centri, in qua est AB [Eucl. I αἰτ. 5].

XXVIII.

Si in coni sectione uel circulo recta aliqua duas rectas parallelas in binas partes secat, diametrus sectionis erit.

in coni sectione enim duae rectae parallelae AB, $\Gamma\Delta$ in E, Z in binas partes aequales secentur, et ducta EZ producatur. dico, eam diametrum sectionis esse.

nam si minus, sit $H\Theta Z$, si fieri potest. itaque recta in H contingens rectae AB parallela est [prop. V—VI]. quare eadem rectae $\Gamma\Delta$ parallela est


ἡ ΗΘ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς ΕΖ. ἡ ΕΖ ἄρα διάμετρος ἔσται τῆς τομῆς.

κθ΄.

Ἐὰν ἐν κώνου τομῇ ἢ κύκλου περιφερείᾳ δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσιν, ἀπὸ τῆς συμπτώσεως αὐτῶν ἐπὶ τὴν διχοτομίαν τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης ἀγομένη εὐθεῖα διάμετρός ἐστι τῆς τομῆς.

ἔστω κώνου τομὴ ἢ κύκλου περιφέρεια, ἧς ἐφαπτόμεναι εὐθεῖαι ἤχθωσαν αἱ ΑΒ, ΑΓ συμπίπτουσαι κατὰ τὸ Α, καὶ ἐπιζευχθεῖσα ἡ ΒΓ δίχα τετμήσθω κατὰ τὸ Δ, καὶ ἐπεζεύχθω ἡ ΑΔ. λέγω, ὅτι διάμετρός ἐστι τῆς τομῆς.

εἰ γὰρ δυνατόν, ἔστω διάμετρος ἡ ΔΕ, καὶ ἐπεζεύχθω ἡ ΕΓ· τεμεῖ δὴ τὴν τομήν. τεμνέτω κατὰ τὸ Ζ, καὶ διὰ τοῦ Ζ τῇ ΓΔΒ παράλληλος ἤχθω ἡ ΖΚΗ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΓΔ τῇ ΔΒ, ἴση καὶ ἡ ΖΘ τῇ ΘΗ. καὶ ἐπεὶ ἡ κατὰ τὸ Α ἐφαπτομένη παράλληλός ἐστι τῇ ΒΓ, ἔστι δὲ καὶ ἡ ΖΗ τῇ ΒΓ παράλληλος, καὶ ἡ ΖΗ ἄρα παράλληλός ἐστι τῇ κατὰ τὸ Α ἐφαπτομένῃ. ἴση ἄρα ἡ ΖΘ τῇ ΘΚ· ὅπερ ἀδύνατον. οὐκ ἄρα διάμετρός ἐστιν ἡ ΔΕ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς ΑΔ.



5. ἀπό] ἡ ἀπό p. 13. ΔΕ] corr. ex ΒΕ m. 1. V, ΒΕ cv, ΕΔ p. 16. ΖΚΗ] ΖΗΚ V, ΖΘΗ p et Comm.; corr.

[Eucl. I, 30]. et $H\Theta$ diametrus est; itaque $\Gamma\Theta = \Theta\Delta$ [I def. 4]. quod absurdum est; supposuimus enim, esse $\Gamma E = E\Delta$. itaque $H\Theta$ diametrus non est. iam similiter demonstrabimus, ne aliam quidem ullam diametrum esse praeter EZ. ergo EZ diametrus sectionis erit.

XXIX.

Si in coni sectione uel circulo duae rectae contingentes concurrunt, recta a puncto earum concursus ad punctum medium rectae puncta contactus coniungentis ducta diametrus sectionis est.

sit coni sectio uel circulus, quam contingentes ducantur rectae AB, $A\Gamma$ in A concurrentes, et ducta $B\Gamma$ in Δ in duas partes aequales secetur, ducaturque $A\Delta$. dico, eam diametrum sectionis esse.

nam si fieri potest, sit ΔE diametrus, ducaturque $E\Gamma$; ea igitur sectionem secabit [I, 35—36]. secet in Z, et per Z rectae $\Gamma\Delta B$ parallela ducatur ZKH. iam quoniam $\Gamma\Delta = \Delta B$, erit etiam [Eucl. VI, 4] $Z\Theta = \Theta H$. et quoniam recta in A contingens rectae $B\Gamma$ parallela est [prop. V—VI], et etiam ZH rectae $B\Gamma$ parallela est, erit etiam ZH rectae in A contingenti parallela. itaque $Z\Theta = \Theta K$ [I, 46—47]; quod fieri non potest. itaque ΔE diametrus non est. iam similiter demonstrabimus, ne aliam quidem ullam diametrum esse praeter $A\Delta$.


Halley. 17. ἐστίν — 18. ἴση] om. V, corr. Memus. 19. Δ] cv, corr. ex A m. 1 V. 20. ἔστι] καὶ ἔστι V, corr. Memus.

λ'.

Ἐὰν κώνου τομῆς ἢ κύκλου περιφερείας δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσιν, ἡ ἀπὸ τῆς συμπτώσεως ἀγομένη διάμετρος δίχα τεμεῖ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν εὐθεῖαν.

$$A'ϙ : A'\varsigma = \Phi O : OI = \Psi\Sigma : \Sigma\Xi$$ [Eucl. I, 34];

et componendo $ϙ\varsigma : \varsigma A' = \Psi\Xi : \Xi\Sigma$ [Eucl. V, 18].

In his figuris om. V angulos X, T et rectam $\Omega\varsigma$.

13. ὥστε] bis V (in alt. ω corr. ex κ m. 1); corr. pvc. 16. $A'\varsigma$] $\overline{\alpha\varsigma}$ V; corr. p. 19. $A'\varsigma$] $\overline{\alpha\varsigma}$ V; corr. p.

πρὸς ΣΞ· καὶ συνθέντι, ὡς ἡ Ϙϛ πρὸς ϛΑ', ἡ ΨΞ πρὸς ΞΣ. καὶ τῶν ἡγουμένων τὰ διπλάσια, ὡς ἡ Ωϛ πρὸς ϛΑ', ἡ ΤΞ πρὸς ΞΣ. καὶ διελόντι, ὡς ἡ ΩΑ' πρὸς Α'ϛ, τουτέστιν ἡ πλαγία πρὸς τὴν ὀρθίαν, ἡ ΤΣ πρὸς ΣΞ. ἐπεζεύχθωσαν δὴ αἱ ΜΞ, ΞΠ, καὶ συνεστάτω πρὸς τῇ ΑΕ εὐθείᾳ καὶ τῷ Ε σημείῳ τῇ ὑπὸ ΜΠΞ γωνίᾳ ἴση ἡ ὑπὸ ΑΕΚ, καὶ διὰ τοῦ Κ ἐφαπτομένη τῆς τομῆς ἤχθω ἡ ΚΘ, καὶ τεταγμένως κατήχθω ἡ ΚΛ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ ΜΠΞ γωνία τῇ ὑπὸ ΑΕΚ, ὀρθὴ δὲ ἡ πρὸς τῷ Σ ὀρθῇ τῇ πρὸς τῷ Λ ἴση, ἰσογώνιον ἄρα ἐστὶ τὸ ΞΣΠ τῷ ΚΕΛ τριγώνῳ. καί ἐστιν, ὡς ἡ πλαγία πρὸς τὴν ὀρθίαν, ἡ ΤΣ πρὸς ΣΞ, τουτέστι τὸ ὑπὸ ΤΣΞ πρὸς τὸ ἀπὸ ΞΣ, τουτέστι τὸ ὑπὸ ΜΣΠ πρὸς τὸ ἀπὸ ΞΣ· ὅμοιον ἄρα ἐστὶ τὸ ΚΛΕ τρίγωνον τῷ ΣΞΠ τριγώνῳ καὶ τῷ ΚΘΕ τὸ ΜΞΠ, καὶ διὰ τοῦτο ἴση ἐστὶν ἡ ὑπὸ ΜΞΠ γωνία τῇ ὑπὸ ΘΚΕ. ἡ δὲ ὑπὸ ΜΞΠ τῇ ὑπὸ ΜΝΠ ἐστιν ἴση, τουτέστι τῇ Χ· καὶ ἡ ὑπο ΘΚΕ ἄρα τῇ Χ ἐστιν ἴση. καὶ ἡ ἐφεξῆς ἄρα ἡ ὑπὸ ΗΚΕ τῇ ἐφεξῆς τῇ Υ ἐστιν ἴση.

διῆκται ἄρα τῆς τομῆς ἐφαπτομένη ἡ ΗΘ πρὸς τῇ διὰ τῆς ἁφῆς ἀγομένῃ διαμέτρῳ τῇ ΚΕ γωνίαν ποιοῦσα τὴν ὑπὸ ΗΚΕ ἴσην τῇ δοθείσῃ τῇ Υ· ὅπερ ἔδει ποιῆσαι.

---

1. ΣΞ] in ras. p, ΕΞ V. ἡ] (pr.) om. V; corr. p. ϛΑ'] ϛα c et corr. ex ϛ ᾱ m. 1 V; corr. Memus; Ϙα p. Α et Α' (α) inter se simillimas hab. V. 5. ΣΞ] e corr. p, ΣΖ V. 6. καί] om. V; corr. p. 7. ΑΕΚ] ΕΑΚ V; corr. p. 10. τῇ] pvc, τ euan. in V. τῷ] τό V; corr. p. Σ] Κ V; corr. p. 11. τῷ] (pr.) τό V; corr. p. τῷ ΚΕΛ] mg. repet. m. rec. V. 13. τουτέστι — 14. ΞΣ (pr.)] bis V (altero loco ΤΣΖ pro ΤΣΞ); corr. p. 20. Υ] ϙ̄ V, ut lin. 23. 23. Ante ἴσην del. γωνίαν m. 1 V (om. pcv). ὅπερ ἔδει ποιῆσαι]

et sumptis duplis antecedentium [Eucl. V, 15]

$$\Omega\varsigma : \varsigma A' = T\Xi : \Xi\Sigma \text{ [Eucl. III, 3]}.$$

et dirimendo [Eucl. V, 17] $\Omega A' : A'\varsigma = T\Sigma : \Sigma\Xi =$ latus transuersum ad rectum. iam ducantur $M\Xi$, $\Xi\Pi$, et ad AE rectam punctumque eius E construatur $\angle AEK = M\Pi\Xi$ [Eucl. I, 23], per K autem sectionem contingens ducatur $K\Theta$ [prop XLIX], et ordinate ducatur $K\Lambda$. iam quoniam est $\angle M\Pi\Xi = AEK$, et rectus angulus ad Σ positus recto angulo ad Λ posito aequalis, aequianguli sunt trianguli $\Xi\Sigma\Pi$, $KE\Lambda$. est autem, ut latus transuersum ad rectum, ita

$$T\Sigma : \Sigma\Xi = T\Sigma \times \Sigma\Xi : \Xi\Sigma^2 = \text{[Eucl. III, 35]} \; M\Sigma \times \Sigma\Pi : \Xi\Sigma^2.$$

itaque[1]) trianguli $K\Lambda E$, $\Sigma\Xi\Pi$ et $K\Theta E$, $M\Xi\Pi$ similes sunt; quare erit $\angle M\Xi\Pi = \Theta KE$. est autem

$$\angle M\Xi\Pi = MN\Pi \text{ [Eucl. III, 21]} = X;$$

itaque etiam $\angle \Theta KE = X$. ergo etiam anguli iis deinceps positi aequales sunt [Eucl. I, 13] $HKE = \Upsilon$.

ergo sectionem contingens ducta est $H\Theta$ ad diametrum per punctum contactus ductam KE angulum efficiens HKE dato angulo Υ aequalem; quod oportebat fieri.

1) E lemmate XI Pappi; nam ut latus transuersum ad rectum, ita $\Theta\Lambda \times \Lambda E : K\Lambda^2$ (I, 37).


om. p. In fine (fol. 92ᵛ; fol. 93ʳ occupant figurae huius prop.): ἐνταῦθα δοκεῖ εἶναι τέλος τοῦ δευτέρου τῶν κωνικῶν Ἀπολλωνίου m. 2 V.

ΚΩΝΙΚΩΝ γ'.

α'.

Ἐὰν κώνου τομῆς ἢ κύκλου περιφερείας εὐθεῖαι ἐπιψαύουσαι συμπίπτωσιν, ἀχθῶσι δὲ διὰ τῶν ἁφῶν διάμετροι συμπίπτουσαι ταῖς ἐφαπτομέναις, ἴσα ἔσται τὰ γινόμενα κατὰ κορυφὴν τρίγωνα.

ἔστω κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ *ΑΒ*, καὶ τῆς *ΑΒ* ἐφαπτέσθωσαν ἥ τε *ΑΓ* καὶ ἡ *ΒΔ* συμπίπτουσαι κατὰ τὸ *Ε*, καὶ ἤχθωσαν διὰ τῶν *Α*, *Β* διάμετροι τῆς τομῆς αἱ *ΓΒ*, *ΔΑ* συμπίπτουσαι ταῖς ἐφαπτομέναις κατὰ τὰ *Γ*, *Δ*. λέγω, ὅτι ἴσον ἐστὶ τὸ *ΑΔΕ* τρίγωνον τῷ *ΕΒΓ*.



ἤχθω γὰρ ἀπὸ τοῦ *Α* παρὰ τὴν *ΒΔ* ἡ *ΑΖ*· τεταγμένως ἄρα κατῆκται. ἔσται δὴ ἐπὶ μὲν τῆς παραβολῆς ἴσον τὸ *ΑΔΒΖ* παραλληλόγραμμον τῷ *ΑΓΖ* τριγώνῳ, καὶ κοινοῦ ἀφαιρουμένου τοῦ *ΑΕΒΖ* λοιπὸν τὸ *ΑΔΕ* τρίγωνον ἴσον ἐστὶ τῷ *ΓΒΕ* τριγώνῳ.

ἐπὶ δὲ τῶν λοιπῶν συμπιπτέτωσαν αἱ διάμετροι κατὰ τὸ *Η* κέντρον.


Titulum non habet V, in quo liber incipit fol. 93^{v}; *Ἀπολλωνίου τοῦ Περγαίου κωνικῶν τρίτον* p. 1. α'] m. rec. V, ut semper deinceps. 16. *ΑΔΒΖ*] *ΑΒΔΖ* V; corr. Halley.

CONICORUM LIBER III.

I.

Si rectae coni sectionem uel circuli ambitum contingentes inter se concurrunt, et per puncta contactus diametri ducuntur cum contingentibus concurrentes, trianguli ita orti, qui ad uerticem inter se positi sunt, aequales erunt.

sit AB coni sectio uel ambitus circuli, et lineam AB contingant $A\Gamma$, $B\Delta$ in E concurrentes, per A,




B autem diametri sectionis ducantur ΓB, ΔA cum contingentibus in Γ, Δ concurrentes. dico, esse

$$A\Delta E = EB\Gamma.$$

ducatur enim ab A rectae $B\Delta$ parallela AZ; ordinate igitur ducta est [I def. 5]. in parabola igitur erit [I, 42] $A\Delta BZ = A\Gamma Z$, et ablato, quod commune est, $AEBZ$ reliquum erit $A\Delta E = \Gamma BE$.

in reliquis autem diametri in H centro concurrant.


ἐπεὶ οὖν κατῆκται ἡ *ΑΖ*, καὶ ἐφάπτεται ἡ *ΑΓ*, τὸ ὑπὸ *ΖΗΓ* ἴσον ἐστὶ τῷ ἀπὸ *ΒΗ*. ἔστιν ἄρα, ὡς ἡ *ΖΗ* πρὸς *ΗΒ*, ἡ *ΒΗ* πρὸς *ΗΓ*· καὶ ὡς ἄρα ἡ



ΖΗ πρὸς *ΗΓ*, τὸ ἀπὸ *ΖΗ* πρὸς τὸ ἀπὸ *ΗΒ*. ἀλλ' ὡς τὸ ἀπὸ *ΖΗ* πρὸς τὸ ἀπὸ *ΗΒ*, τὸ *ΑΗΖ* πρὸς τὸ *ΔΗΒ*, ὡς δὲ ἡ *ΖΗ* πρὸς *ΗΓ*, τὸ *ΑΗΖ* πρὸς *ΑΗΓ*· καὶ ὡς ἄρα τὸ *ΑΗΖ* πρὸς τὸ *ΑΗΓ*, τὸ *ΑΗΖ* πρὸς *ΔΗΒ*. ἴσον ἄρα τὸ *ΑΗΓ* τῷ *ΔΗΒ*. κοινὸν ἀφῃρήσθω τὸ *ΔΗΓΕ*· λοιπὸν ἄρα τὸ *ΑΕΔ* τρίγωνον ἴσον ἐστὶ τῷ *ΓΕΒ*.

β'.


Τῶν αὐτῶν ὑποκειμένων ἐὰν ἐπὶ τῆς τομῆς ἢ τῆς τοῦ κύκλου περιφερείας ληφθῇ τι σημεῖον, καὶ δι' αὐτοῦ παράλληλοι ἀχθῶσι ταῖς ἐφαπτομέναις ἕως τῶν διαμέτρων, τὸ γινόμενον τετράπλευρον πρός τε μιᾷ τῶν ἐφαπτομένων καὶ μιᾷ τῶν διαμέτρων ἴσον ἔσται τῷ γινομένῳ τριγώνῳ πρός τε τῇ αὐτῇ ἐφαπτομένῃ καὶ τῇ ἑτέρᾳ τῶν διαμέτρων.



ἔστω γὰρ κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ *ΑΒ*

5. ὡς] pc, corr. ex ὁ m. 1 V.

iam quoniam AZ ordinate ducta est, et $A\Gamma$ contingit, erit $ZH \times H\Gamma = BH^2$ [I, 37]. itaque



$$ZH : HB = BH : H\Gamma$$

[Eucl. VI, 17]; quare etiam

$$ZH : H\Gamma = ZH^2 : HB^2$$

[Eucl. V def. 9]. est autem

$$ZH^2 : HB^2 = AHZ : \Delta HB$$

[Eucl. VI, 19], et

$$ZH : H\Gamma = AHZ : AH\Gamma$$


[Eucl. VI, 1]. quare etiam

$$AHZ : AH\Gamma = AHZ : \Delta HB.$$

itaque $AH\Gamma = \Delta HB$ [Eucl. V, 9]. auferatur, quod commune est, $\Delta H\Gamma E$; reliquum igitur $AE\Delta = \Gamma EB$.

II.

Iisdem suppositis si in sectione uel ambitu circuli punctum aliquod sumitur, et per id rectae contingentibus parallelae ducuntur usque ad diametros, quadrangulus ad alteram contingentium alteramque diametrorum ortus aequalis erit triangulo ad eandem contingentem alteramque diametrum orto.



sit enim AB coni sectio uel ambitus circuli contingentesque $AE\Gamma$, $BE\Delta$, diametri autem $A\Delta$, $B\Gamma$,


καὶ ἐφαπτόμεναι αἱ $ΑΕΓ$, $ΒΕΔ$, διάμετροι δὲ αἱ $ΑΔ$, $ΒΓ$, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ $Η$, καὶ ἤχθωσαν παρὰ τὰς ἐφαπτομένας αἱ $ΗΚΛ$, $ΗΜΖ$. λέγω, ὅτι ἴσον ἐστὶ τὸ $ΑΙΜ$ τρίγωνον τῷ $ΓΛΗΙ$ τετραπλεύρῳ.

ἐπεὶ γὰρ δέδεικται τὸ $ΗΚΜ$ τρίγωνον τῷ $ΑΛ$ τετραπλεύρῳ ἴσον, κοινὸν προσκείσθω ἢ ἀφῃρήσθω τὸ $ΙΚ$ τετράπλευρον, καὶ γίνεται τὸ $ΑΙΜ$ τρίγωνον ἴσον τῷ $ΓΗ$ τετραπλεύρῳ.

γ'.

Τῶν αὐτῶν ὑποκειμένων ἐὰν ἐπὶ τῆς τομῆς ἢ τῆς περιφερείας $\bar{β}$ σημεῖα ληφθῇ, καὶ δι' αὐτῶν παράλληλοι ἀχθῶσι ταῖς ἐφαπτομέναις ἕως τῶν διαμέτρων, τα γινόμενα ὑπὸ τῶν ἀχθεισῶν τετράπλευρα, βεβηκότα δὲ ἐπὶ τῶν διαμέτρων, ἴσα ἔσται ἀλλήλοις.

ἔστω γὰρ ἡ τομὴ καὶ αἱ ἐφαπτόμεναι καὶ αἱ διάμετροι, ὡς προείρηται, καὶ εἰλήφθω ἐπὶ τῆς τομῆς δύο τυχόντα σημεῖα τὰ $Ζ$, $Η$, καὶ διὰ μὲν τοῦ $Ζ$ ταῖς ἐφαπτομέναις παράλληλοι ἤχθωσαν ἥ τε $ΖΘΚΛ$ καὶ




ἡ $ΝΖΙΜ$, διὰ δὲ τοῦ $Η$ ἥ τε $ΗΞΟ$ καὶ ἡ $ΘΠΡ$. λέγω, ὅτι ἴσον ἐστὶ τὸ μὲν $ΛΗ$ τετράπλευρον τῷ $ΜΘ$, τὸ δὲ $ΛΝ$ τῷ $ΡΝ$.

---

4. $ΓΛΗΙ$] V?, p; $ΓΛΗ$ c, et v, sed corr. m. 2. V in prop. II quinque praeterea figg. habet.


et sumatur in sectione punctum aliquod H, ducanturque contingentibus parallelae $HK\Lambda$, HMZ. dico, esse $AIM = \Gamma\Lambda HI$.



nam quoniam demonstratum est [I, 42—43], esse $HKM = A\Lambda$, commune adiiciatur uel auferatur quadrangulus IK. tum erit $AIM = \Gamma H$.

III.

Iisdem suppositis si in sectione uel ambitu circuli duo puncta sumuntur, et per ea rectae contingentibus parallelae usque ad diametros ducuntur, quadranguli



rectis ita ductis effecti et in diametris collocati inter se aequales erunt.

sit enim sectio et contingentes et diametri, sicut

ἐπεὶ γὰρ προδέδεικται ἴσον τὸ ΡΠΑ τρίγωνον τῷ ΓΗ τετραπλεύρῳ, τὸ δὲ ΑΜΙ τῷ ΓΖ, τὸ δὲ ΑΡΠ τοῦ ΑΜΙ μεῖζόν ἐστι τῷ ΠΜ τετραπλεύρῳ, καὶ τὸ ΓΗ ἄρα τοῦ ΓΖ μεῖζόν ἐστι τῷ ΜΠ τετραπλεύρῳ· ὥστε τὸ ΓΗ ἴσον ἐστὶ τῷ ΓΖ καὶ τῷ ΠΜ, τουτέστι τῷ ΓΘ καὶ τῷ ΡΖ. κοινὸν ἀφῃρήσθω τὸ ΓΘ· λοιπὸν ἄρα τὸ ΛΗ ἴσον ἐστὶ τῷ ΘΜ. καὶ ὅλον ἄρα τὸ ΛΝ τῷ ΡΝ ἴσον ἐστίν.

δ'.

Ἐὰν τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐπιψαύουσαι συμπίπτωσιν ἀλλήλαις, ἀχθῶσι δὲ διὰ τῶν ἁφῶν διάμετροι συμπίπτουσαι ταῖς ἐφαπτομέναις, ἴσα ἔσται τα πρὸς ταῖς ἐφαπτομέναις τρίγωνα.

ἔστωσαν ἀντικείμεναι αἱ Α, Β, αἱ δὲ ἐφαπτόμεναι αὐτῶν αἱ ΑΓ, ΒΓ συμπιπτέτωσαν κατὰ τὸ Γ, κέντρον δὲ ἔστω τῶν τομῶν τὸ Δ, καὶ ἐπεζεύχθω ἡ ΑΒ καὶ ἡ ΓΔ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ε, ἐπεζεύχθωσαν δὲ καὶ αἱ ΔΑ, ΒΔ καὶ ἐκβεβλήσθωσαν ἐπὶ τὰ Ζ, Η. λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΑΗΔ τρίγωνον τῷ ΒΔΖ, τὸ δὲ ΑΓΖ τῷ ΒΓΗ.

ἤχθω γὰρ διὰ τοῦ Θ ἐφαπτομένη τῆς τομῆς ἡ ΘΛ· παράλληλος ἄρα ἐστὶ τῇ ΑΗ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΘ, ἴσον ἂν εἴη τὸ ΑΗΔ τρίγωνον τῷ ΘΛΔ. ἀλλὰ τὸ ΔΘΛ τῷ ΒΔΖ ἐστιν ἴσον· καὶ τὸ ΑΗΔ ἄρα τῷ ΒΔΖ ἐστιν ἴσον. ὥστε καὶ τὸ ΑΓΖ τῷ ΒΓΗ ἴσον.


antea diximus, sumantur autem in sectione duo quaelibet puncta Z, H, et per Z contingentibus parallelae ducantur $Z\Theta K\Lambda$, $NZIM$, per H autem $H\Xi O$, $\Theta\Pi P$. dico, esse $\Lambda H = M\Theta$, $\Lambda N = PN$.

quoniam enim antea demonstrauimus [prop. II], esse $P\Pi\Lambda = \Gamma H$, $\Lambda MI = \Gamma Z$, et $\Lambda P\Pi = \Lambda MI + \Pi M$, erit etiam $\Gamma H = \Gamma Z + \Pi M$. itaque $\Gamma H = \Gamma\Theta + PZ$. auferatur, quod commune est, $\Gamma\Theta$; reliquum igitur $\Lambda H = \Theta M$. ergo $\Lambda N = PN$.

IV.

Si duae rectae sectiones oppositas contingentes inter se concurrunt, et per puncta contactus diametri ducuntur cum contingentibus concurrentes, trianguli ad contingentes positi aequales erunt.

sint A, B sectiones oppositae, easque contingentes $A\Gamma$, $B\Gamma$ in Γ concurrant, centrum autem sectionum sit Δ, ducaturque AB et $\Gamma\Delta$, quae ad E producatur, et ducantur etiam ΔA, $B\Delta$ producanturque ad Z, H. dico, esse



$AH\Delta = B\Delta Z$ et $A\Gamma Z = B\Gamma H$.

per Θ enim sectionem contingens ducatur $\Theta\Lambda$; ea igitur rectae AH parallela est [Eutocius ad I, 44]. et quoniam est [I, 30] $A\Delta = \Delta\Theta$, erit $AH\Delta = \Theta\Lambda\Delta$ [Eucl. VI, 19]. est autem $\Delta\Theta\Lambda = B\Delta Z$ [prop. I]; quare etiam $AH\Delta = B\Delta Z$. ergo etiam $A\Gamma Z = B\Gamma H$.

ε'.

Ἐὰν τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐπιψαύουσαι συμπίπτωσι, καὶ ληφθῇ ἐφ' ὁποτέρας τῶν τομῶν σημεῖόν τι, καὶ ἀπ' αὐτοῦ ἀχθῶσι δύο εὐθεῖαι, ἡ μὲν παρὰ τὴν ἐφαπτομένην, ἡ δὲ παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν, τὸ γινόμενον ὑπ' αὐτῶν τρίγωνον πρὸς τῇ διὰ τῆς συμπτώσεως ἠγμένῃ διαμέτρῳ τοῦ ἀπολαμβανομένου τριγώνου πρὸς τῇ συμπτώσει τῶν ἐφαπτομένων διαφέρει τῷ ἀπολαμβανομένῳ τριγώνῳ πρός τε τῇ ἐφαπτομένῃ καὶ τῇ διὰ τῆς ἁφῆς ἀγομένῃ διαμέτρῳ.

ἔστωσαν ἀντικείμεναι αἱ Α, Β, ὧν κέντρον τὸ Γ, καὶ ἐφαπτόμεναι αἱ ΕΔ, ΔΖ συμπιπτέτωσαν κατὰ τὸ Δ, καὶ ἐπεζεύχθω ἡ ΕΖ καὶ ἡ ΓΔ καὶ ἐκβεβλήσθω, καὶ αἱ ΖΓ, ΕΓ ἐπιζευχθεῖσαι ἐκβεβλήσθωσαν, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Η, καὶ δι' αὐτοῦ ἤχθω παρὰ μὲν τὴν ΕΖ ἡ ΘΗΚΛ, παρὰ δὲ τὴν ΔΖ ἡ ΗΜ. λέγω, ὅτι τὸ ΗΘΜ τρίγωνον τοῦ ΚΘΔ διαφέρει τῷ ΚΛΖ.

ἐπεὶ γὰρ δέδεικται ἡ ΓΔ διάμετρος τῶν ἀντικειμένων, ἡ δὲ ΕΖ τεταγμένως ἐπ' αὐτὴν κατηγμένη, καὶ ἡ μὲν ΗΘ παρὰ τὴν ΕΖ, ἡ δὲ ΜΗ παρὰ τὴν ΔΖ, τὸ ἄρα ΜΗΘ τρίγωνον τοῦ ΓΛΘ τριγώνου διαφέρει τῷ ΓΔΖ. ὥστε τὸ ΜΗΘ τοῦ ΚΘΔ τριγώνου διαφέρει τῷ ΚΖΛ.

καὶ φανερόν, ὅτι ἴσον γίνεται τὸ ΚΖΛ τρίγωνον τῷ ΜΗΚΔ τετραπλεύρῳ.


---

3. συμπίπτουσι V; corr. pc. 17. ΘΗΚΛ] V; ΗΘΚΛ p.

V.

Si duae rectae oppositas contingentes inter se concurrunt, et in utraque sectione punctum aliquod sumitur, ab eoque duae rectae ducuntur altera contingenti parallela, altera rectae puncta contactus coniungenti parallela, triangulus ab iis ad diametrum per punctum concursus ductam effectus a triangulo ad punctum concursus contingentium absciso differt triangulo ad contingentem diametrumque per punctum contactus ductam absciso.

sint oppositae A, B, quarum centrum sit Γ, et contingentes $E\Delta$, ΔZ in Δ concurrant, ducaturque EZ et $\Gamma\Delta$, quae producatur, et $Z\Gamma$, $E\Gamma$ ductae pro-



ducantur, sumaturque in sectione punctum aliquod H, et per id ducatur $\Theta HK\Lambda$ rectae EZ parallela, HM autem rectae ΔZ parallela. dico, esse

$$H\Theta M = K\Theta\Delta + K\Lambda Z.$$

quoniam enim demonstrauimus [II, 39 et 38], $\Gamma\Delta$ diametrum esse oppositarum, et EZ ad eam ordinate ducta est, et $H\Theta$ rectae EZ parallela, MH autem rectae ΔZ parallela, erit [I, 45]

$$MH\Theta = \Gamma\Lambda\Theta + \Gamma\Delta Z.$$

ergo $MH\Theta = K\Theta\Delta + KZ\Lambda$.

et manifestum est, esse $KZ\Lambda = MHK\Delta$.

ϛ'.

Τῶν αὐτῶν ὑποκειμένων ἐὰν ἐπὶ μιᾶς τῶν ἀντικειμένων ληφθῇ τι σημεῖον, καὶ ἀπ' αὐτοῦ παράλληλοι ἀχθῶσι ταῖς ἐφαπτομέναις συμπίπτουσαι ταῖς τε ἐφαπτομέναις καὶ ταῖς διαμέτροις, τὸ γινόμενον ὑπ' αὐτῶν τετράπλευρον πρὸς τῇ μιᾷ τῶν ἐφαπτομένων καὶ τῇ μιᾷ τῶν διαμέτρων ἴσον ἔσται τῷ γινομένῳ τριγώνῳ πρός τε τῇ αὐτῇ ἐφαπτομένῃ καὶ τῇ ἑτέρᾳ τῶν διαμέτρων.

ἔστωσαν ἀντικείμεναι, ὧν διάμετροι αἱ ΑΕΓ, ΒΕΔ, καὶ τῆς ΑΒ τομῆς ἐφαπτέσθωσαν αἱ ΑΖ, ΒΗ συμπίπτουσαι ἀλλήλαις κατὰ τὸ Θ, εἰλήφθω δέ τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Κ, καὶ ἀπ' αὐτοῦ ταῖς ἐφαπτομέναις παράλληλοι ἤχθωσαν αἱ ΚΜΛ, ΚΝΞ. λέγω, ὅτι τὸ ΚΖ τετράπλευρον τῷ ΑΙΝ τριγώνῳ ἐστὶν ἴσον.

ἐπεὶ οὖν ἀντικείμεναι αἱ ΑΒ, ΓΔ, καὶ τῆς ΑΒ ἐφάπτεται ἡ ΑΖ συμπίπτουσα τῇ ΒΔ, καὶ παρὰ τὴν ΑΖ ἦκται ἡ ΚΛ, ἴσον ἐστὶ τὸ ΑΙΝ τρίγωνον τῷ ΚΖ τετραπλεύρῳ.

ζ'.

Τῶν αὐτῶν ὑποκειμένων ἐὰν ἐφ' ἑκατέρας τῶν τομῶν σημεῖά τινα ληφθῇ, καὶ ἀπ' αὐτῶν παράλληλοι ἀχθῶσι ταῖς ἐφαπτομέναις συμπίπτουσαι ταῖς τε ἐφαπτομέναις καὶ ταῖς διαμέτροις, τὰ γινόμενα ὑπὸ τῶν ἀχθεισῶν τετράπλευρα, βεβηκότα δὲ ἐπὶ τῶν διαμέτρων, ἴσα ἔσται ἀλλήλοις.

ὑποκείσθω γὰρ τὰ προειρημένα, καὶ εἰλήφθω ἐφ' ἑκατέρας τῶν τομῶν σημεῖα τὰ Κ, Λ, καὶ δι' αὐτῶν


---

2. *ὑποκειμένων*] repet. mg. m. rec. V. 8. *τῇ*] (alt.) om. V; corr. p. 13. *ΚΜΛ*] *ΚΛΜ* V; corr. p. 22. *συμπίπτουσαι*] pcv; euan. V, rep. mg. m. rec.

VI.

Iisdem suppositis si in altera oppositarum punctum aliquod sumitur, et ab eo rectae contingentibus parallelae ducuntur et cum contingentibus et cum diametris concurrentes, quadrangulus ab iis ad alteram contingentium alteramque diametrum effectus aequalis erit triangulo ad eandem contingentem alteramque diametrum orto.

sint oppositae, quarum diametri sint $A E \Gamma$, $B E \Delta$, et sectionem AB contingant AZ, BH inter se in Θ




concurrentes, sumatur autem in sectione punctum aliquod K, ab eoque contingentibus parallelae ducantur $K M \Lambda$, $K N \Xi$. dico, esse $KZ = \Lambda I N$.

iam quoniam AB, $\Gamma\Delta$ sectiones oppositae sunt, et sectionem AB contingit AZ cum $B\Delta$ concurrens, rectae autem AZ parallela ducta est $K\Lambda$, erit [prop. II] $\Lambda I N = KZ$.

VII.

Iisdem suppositis si in utraque sectione puncta aliqua sumuntur, et ab iis contingentibus parallelae ducuntur rectae et cum contingentibus et cum diametris concurrentes, quadranguli rectis ita ductis effecti et in diametris collocati inter se aequales erunt.

παρὰ μὲν τὴν ΑΖ ἤχθωσαν ἡ ΜΚΠΡΧ καὶ ἡ ΝΣΤΛΩ, παρὰ δὲ τὴν ΒΗ ἡ ΝΙΟΚΞ καὶ ἡ ΧΦΥΛΨ. λέγω, ὅτι ἔσται τὰ τῆς προτάσεως.



ἐπεὶ γὰρ τὸ ΑΟΙ τρίγωνον τῷ ΡΟ τετραπλεύρῳ ἐστὶν ἴσον, κοινὸν προσκείσθω τὸ ΕΟ· ὅλον ἄρα τὸ ΑΕΖ τρίγωνον ἴσον ἐστὶ τῷ ΚΕ. ἔστι δὲ καὶ τὸ ΒΕΗ τρίγωνον ἴσον τῷ ΛΕ τετραπλεύρῳ, καί ἐστι τὸ ΑΕΖ τρίγωνον ἴσον τῷ ΒΗΕ· καὶ τὸ ΛΕ ἄρα ἴσον ἐστὶ τῷ ΙΚΡΕ. κοινὸν προσκείσθω τὸ ΝΕ· ὅλον ἄρα τὸ ΤΚ ἴσον ἐστὶ τῷ ΙΛ, καὶ τὸ ΚΥ τῷ ΡΛ.

η'.

Τῶν αὐτῶν ὑποκειμένων εἰλήφθω ἀντὶ τῶν Κ, Λ τὰ Γ, Δ, καθ' ἃ συμβάλλουσιν αἱ διάμετροι ταῖς τομαῖς, καὶ δι' αὐτῶν ἤχθωσαν αἱ παράλληλοι ταῖς ἐφαπτομέναις.

λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΔΗ τετράπλευρον τῷ ΖΓ καὶ τὸ ΞΙ τῷ ΟΤ.

ἐπεὶ γὰρ ἴσον ἐδείχθη τὸ ΑΗΘ τρίγωνον τῷ ΘΒΖ, καὶ η ἀπὸ τοῦ Α ἐπὶ τὸ Β παράλληλος τῇ ἀπὸ τοῦ Η ἐπὶ τὸ Ζ, ἀνάλογον ἄρα ἐστίν, ὡς ἡ ΑΕ πρὸς ΕΗ, ἡ ΒΕ πρὸς ΕΖ· καὶ ἀναστρέψαντι, ὡς ἡ ΕΑ πρὸς ΑΗ, ἡ ΕΒ πρὸς ΒΖ. ἔστι δὲ καί, ὡς ἡ ΓΑ πρὸς ΑΕ, ἡ ΔΒ πρὸς ΒΕ· ἑκατέρα γὰρ ἑκατέρας διπλῆ· δι' ἴσου ἄρα, ὡς ἡ ΓΑ πρὸς ΑΗ, ἡ ΔΒ

4. γάρ] cp, et V, sed deinde del. 1 litt. m. 1. 12. τὸ ΝΕ] cp, corr. ex τὸν ε̄ V. 20. τό] τῷ V; corr. Halley. τῷ] τό cp. 21. τῷ] cp, corr. ex τό m. 1 V. 23. Η] pcv, euan. V.

supponantur enim, quae antea diximus, et in utraque sectione puncta sumantur K, Λ, per eaque rectae AZ parallelae ducantur $MK\Pi PX$, $N\Sigma T\Lambda\Omega$, rectae autem BH parallelae $NIOK\Xi$, $X\Phi\Upsilon\Lambda\Psi$. dico, euenire, quae in propositione dicta sunt.


nam quoniam est $\Lambda OI = PO$ [prop. II], commune adiiciatur EO; itaque erit $\Lambda EZ = KE$. est autem etiam [u. Eutocius ad prop. VI] $BEH = \Lambda E$, et [prop. I] $AEZ = BHE$; itaque etiam $\Lambda E = IKPE$. commune adiiciatur NE; ergo $TK = I\Lambda$; et etiam $K\Upsilon = P\Lambda$.

VIII.

Iisdem suppositis pro K, Λ sumantur Γ, Δ, in quibus diametri cum sectionibus concurrant, per eaque ducantur rectae contingentibus parallelae.

dico, esse $\Delta H = Z\Gamma$, $\Xi I = OT$.

quoniam enim demonstrauimus, esse $AH\Theta = \Theta BZ$ [prop. I], et recta ab A ad B ducta rectae ab H ad Z ductae parallela est [II, 39 et Pappi lemma I], erit [Eucl. VI, 4]



$$AE : EH = BE : EZ;$$

et conuertendo

$$EA : AH = EB : BZ$$

[Eucl. V, 19 coroll.]. est autem etiam

$$\Gamma A : AE = \Delta B : BE;$$

nam utraque utraque duplo maior est [I, 30]. ex aequo igitur [Eucl. V, 20] $\Gamma A : AH = \Delta B : BZ$. et trianguli similes sunt propter parallelas; itaque

$$\Gamma TA : A\Theta H = \Xi B\Delta : \Theta BZ \text{ [Eucl. VI, 19].}$$

πρὸς ΒΖ. καί ἐστιν ὅμοια τὰ τρίγωνα διὰ τὰς παραλλήλους· ὡς ἄρα τὸ ΓΤΔ τρίγωνον πρὸς τὸ ΑΘΗ, τὸ ΞΒΔ πρὸς τὸ ΘΒΖ. καὶ ἐναλλάξ· ἴσον δὲ τὸ ΑΗΘ τῷ ΘΖΒ· ἴσον ἄρα καὶ τὸ ΤΔΓ τῷ ΔΒΞ. ὧν τὸ ΑΗΘ ἴσον ἐδείχθη τῷ ΒΘΖ· λοιπὸν ἄρα τὸ ΔΘ τετράπλευρον ἴσον τῷ ΓΘ. ὥστε καὶ τὸ ΔΗ τῷ ΓΖ.

καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΓΟ τῇ ΑΖ, ἴσον ἐστὶ τὸ ΓΟΕ τρίγωνον τῷ ΑΕΖ. ὁμοίως δὲ καὶ τὸ ΔΕΙ τῷ ΒΕΗ. ἀλλὰ τὸ ΒΕΗ τῷ ΑΕΖ ἴσον· καὶ τὸ ΓΟΕ ἄρα ἴσον τῷ ΔΕΙ. ἔστι δὲ καὶ τὸ ΗΔ τετράπλευρον ἴσον τῷ ΖΓ. ὅλον ἄρα τὸ ΞΙ ἴσον ἐστὶ τῷ ΟΤ.

θ΄.

Τῶν αὐτῶν ὑποκειμένων ἐὰν τὸ μὲν ἕτερον τῶν σημείων μεταξὺ ᾖ τῶν διαμέτρων, οἷον τὸ Κ, τὸ δὲ ἕτερον ἑνὶ τῶν Γ, Δ ταὐτόν, οἷον τὸ Γ, καὶ ἀχθῶσιν αἱ παράλληλοι, λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΓΕΟ τρίγωνον τῷ ΚΕ τετραπλεύρῳ καὶ τὸ ΛΟ τῷ ΛΜ.

τοῦτο δὲ φανερόν. ἐπεὶ γὰρ ἴσον ἐδείχθη τὸ ΓΕΟ τρίγωνον τῷ ΑΕΖ, τὸ δὲ ΑΕΖ ἴσον τῷ ΚΕ τετραπλεύρῳ, καὶ τὸ ΓΕΟ ἄρα ἴσον τῷ ΚΕ τετραπλεύρῳ. ὥστε καὶ τὸ ΓΡΜ ἴσον ἐστὶ τῷ ΚΟ, καὶ τὸ ΚΓ ἴσον τῷ ΛΟ.

ι΄.

Τῶν αὐτῶν ὑποκειμένων εἰλήφθω τὰ Κ, Λ σημεῖα μὴ καθ' ὃ συμβάλλουσιν αἱ διάμετροι ταῖς τομαῖς.

δεικτέον δή, ὅτι ἴσον ἐστὶ τὸ ΛΤΡΧ τετράπλευρον τῷ ΩΧΚΙ τετραπλεύρῳ.

---

4. ΔΒΞ] ΔΕΞ V; corr. p (ΞΔΒ).

et permutando [Eucl. V, 16]; est autem [prop. I] $A H \Theta = \Theta Z B$; quare etiam $T A \Gamma = \varDelta B \Xi$. quorum est $A H \Theta = B \Theta Z$, ut demonstrauimus; itaque reliquum $\varDelta \Theta = \Gamma \Theta$. quare etiam $\varDelta H = \Gamma Z$.

et quoniam ΓO, $A Z$ parallelae sunt, erit [Eucl. VI, 19] $\Gamma O E = A E Z$.[1]) eodem autem modo etiam

$$\varDelta E I = B E H.$$


est autem $B E H = A E Z$ [prop. I]; quare etiam

$$\Gamma O E = \varDelta E I.$$

est autem etiam $H \varDelta = Z \Gamma$; ergo $\Xi I = O T$.

IX.

Iisdem suppositis si alterum punctum inter diametros est ut K, alterum autem idem atque alterutrum punctorum Γ, $\varDelta$ ut Γ, et ducuntur parallelae, dico, esse $\Gamma E O = K E$, $\Lambda O = \Lambda M$.



et hoc manifestum est. quoniam enim demonstrauimus [Eucl. VI, 19; cfr. prop. VIII], esse $\Gamma E O = A E Z$, et est $A E Z = K E$ [Eutocius ad prop. VI], erit etiam $\Gamma E O = K E$. ergo etiam $\Gamma P M = K O$ et $K \Gamma$[2]) $= \Lambda O$.

X.


Iisdem suppositis puncta K, Λ ne sumantur, ubi diametri cum sectionibus concurrunt.

demonstrandum igitur, esse $\Lambda T P X = \Omega X K I$.

---

1) Nam $\Gamma E = E A$ (I, 30).
2) H. e. $K M \Gamma \Lambda$.

ἐπεὶ γὰρ ἐφάπτονται αἱ ΑΖ, ΒΗ, καὶ διὰ τῶν ἁφῶν διάμετροί εἰσιν αἱ ΑΕ, ΒΕ, καὶ παρὰ τὰς ἐφαπτομένας εἰσὶν αἱ ΛΤ, ΚΙ, μεῖζόν ἐστι τὸ ΤΥΕ τρίγωνον τοῦ ΥΩΛ τῷ ΕΖΑ. ὁμοίως δὲ καὶ τὸ ΞΕΙ τοῦ ΞΡΚ μεῖζόν ἐστι τῷ ΒΕΗ. ἴσον δὲ τὸ ΑΕΖ τῷ ΒΕΗ· τῷ αὐτῷ ἄρα ὑπερέχει τό τε ΤΕΥ τοῦ ΥΩΛ καὶ τὸ ΞΕΙ τοῦ ΞΡΚ. τὸ ΤΥΕ ἄρα μετὰ τοῦ ΞΡΚ ἴσον ἐστὶ τῷ ΞΕΙ μετὰ τοῦ ΥΩΛ. κοινὸν προσκείσθω τὸ ΚΞΕΥΛΧ· τὸ ΛΤΡΧ ἄρα τετράπλευρον ἴσον ἐστὶ τῷ ΩΧΚΙ τετραπλεύρῳ.



ια'.

Τῶν αὐτῶν ὑποκειμένων ἐὰν ἐφ' ὁποτέρας τῶν τομῶν σημεῖόν τι ληφθῇ, καὶ ἀπ' αὐτοῦ παράλληλοι ἀχθῶσιν ἡ μὲν παρὰ τὴν ἐφαπτομένην, ἡ δὲ παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν, τὸ γινόμενον ὑπ' αὐτῶν τρίγωνον πρὸς τῇ διὰ τῆς συμπτώσεως τῶν ἐφαπτομένων ἠγμένῃ διαμέτρῳ διαφέρει τοῦ ἀπολαμβανομένου τριγώνου πρός τε τῇ ἐφαπτομένῃ καὶ τῇ διὰ τῆς ἁφῆς ἠγμένῃ διαμέτρῳ τῷ ἀπολαμβανομένῳ τριγώνῳ πρὸς τῇ συμπτώσει τῶν ἐφαπτομένων.

ἔστωσαν ἀντικείμεναι αἱ ΑΒ, ΓΔ, καὶ ἐφαπτόμεναι αἱ ΑΕ, ΔΕ συμπιπτέτωσαν κατὰ τὸ Ε, καὶ ἔστω

---

5. ΥΩΛ] pcv, Ω e corr. m. 1 V. 9. τῷ] (alt.) pc, corr. ex τό m. 1 V. αὐτῷ] pc, corr. ex αὐτό m. 1 V. 14. ΚΞΕΥΛΧ] ΚΞΕΥΧ Vp; corr. Memus.

nam quoniam AZ, BH contingunt, et AE, BE diametri sunt per puncta contactus ductae, contingentibusque parallelae sunt AT, KI, erit

$$TYE = Y\Omega\Lambda + EZ\Lambda,$$


et eodem modo etiam $\Xi EI = \Xi PK + BEH$ [I, 44]. est autem $AEZ = BEH$ [prop. I]. itaque erit

$$TEY \div Y\Omega\Lambda = \Xi EI \div \Xi PK.$$

quare erit $TYE + \Xi PK = \Xi EI + Y\Omega\Lambda$. commune adiiciatur $K\Xi EY\Lambda X$; ergo erit $\Lambda TPX = \Omega XKI$.

XI.

Iisdem suppositis si in utralibet sectione punctum aliquod sumitur, et ab eo rectae ducuntur parallelae altera contingenti, altera rectae puncta contactus coniungenti, triangulus ab iis ad diametrum per punctum concursus contingentium ductam effectus a triangulo absciso ad contingentem diametrumque per punctum contactus ductam differt triangulo ad punctum concursus contingentium absciso.



sint oppositae AB, $\Gamma\Delta$, et contingentes AE, ΔE in E concurrant, centrum autem sit Θ, ducanturque $A\Delta$, $E\Theta H$, et in sectione AB punctum aliquod sumatur B, et per id ducatur $BZ\Lambda$ rectae AH parallela, BM autem rectae AE parallela. dico, esse $BZM = AK\Lambda + KEZ$.

In V duae praeterea ad prop. XI figurae sunt.

κέντρον τὸ Θ, καὶ ἐπεζεύχθωσαν ἥ τε ΑΔ καὶ ἡ ΕΘΗ, εἰλήφθω δὲ ἐπὶ τῆς ΑΒ τομῆς τυχὸν σημεῖον τὸ Β, καὶ δι' αὐτοῦ ἤχθωσαν παρὰ μὲν τὴν ΑΗ ἡ ΒΖΛ, παρὰ δὲ τὴν ΑΕ ἡ ΒΜ. λέγω, ὅτι τὸ ΒΖΜ τρίγωνον τοῦ ΑΚΛ διαφέρει τῷ ΚΕΖ.

ὅτι μὲν γὰρ ἡ ΑΔ δίχα τέμνεται ὑπὸ τῆς ΕΘ, φανερόν, καὶ ὅτι ἡ ΕΘ διάμετρός ἐστι συζυγὴς τῇ διὰ τοῦ Θ παρὰ τὴν ΑΔ ἀγομένῃ· ὥστε κατηγμένη ἐστὶν ἡ ΑΗ ἐπὶ τὴν ΕΗ.

ἐπεὶ οὖν διάμετρός ἐστιν ἡ ΗΕ, καὶ ἐφάπτεται μὲν ἡ ΑΕ, κατηγμένη δὲ ἡ ΑΗ, ληφθέντος δὲ ἐπὶ τῆς τομῆς τοῦ Β σημείου κατήχθησαν ἐπὶ τὴν ΕΗ ἡ μὲν ΒΖ παρὰ τὴν ΑΗ, ἡ δὲ ΒΜ παρὰ τὴν ΑΕ, δῆλον, ὅτι τὸ ΒΜΖ τρίγωνον τοῦ ΛΘΖ διαφέρει τῷ ΘΑΕ. ὥστε καὶ τὸ ΒΖΜ τοῦ ΑΚΛ διαφέρει τῷ ΚΖΕ.

καὶ συναποδέδεικται, ὅτι τὸ ΒΚΕΜ τετράπλευρον ἴσον ἐστὶ τῷ ΛΚΑ τριγώνῳ.

ιβ'.


Τῶν αὐτῶν ὄντων ἐὰν ἐπὶ μιᾶς τῶν τομῶν β̄ σημεῖα ληφθῇ, καὶ ἀφ' ἑκατέρου παράλληλοι ἀχθῶσιν, ὁμοίως ἴσα ἔσται τὰ γινόμενα ὑπ' αὐτῶν τετράπλευρα.

ἔστω γὰρ τὰ αὐτὰ τοῖς πρότερον, καὶ εἰλήφθω ἐπὶ τῆς ΑΒ τομῆς τυχόντα σημεῖα τὰ Β, Κ, καὶ δι' αὐτῶν ἤχθωσαν παράλληλοι τῇ ΑΔ αἱ ΛΒΜΝ, ΚΞΟΥΠ, τῇ δὲ ΑΕ αἱ ΒΞΡ, ΛΚΣ. λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΒΠ τῷ ΚΡ.

---

25. ΛΒΜΝ] ΒΛΜΝ V; corr. p. 26. ΛΚΣ] ΚΛΣ V; corr. p.

nam hoc quidem manifestum est, $A\Delta$ ab $E\Theta$ in duas partes aequales secari [II, 39], et $E\Theta$ diametrum esse cum ea coniugatam, quae per Θ rectae $A\Delta$ parallela ducitur [II, 38]; quare AH ad HE ordinate ducta est [I def. 6].




iam quoniam HE diametrus est, et contingit AE, ordinate autem ducta est AH, et sumpto in sectione puncto B ad EH ductae sunt BZ rectae AH parallela et BM rectae AE parallela, adparet, esse $BMZ = \Lambda\Theta Z + \Theta AE$ [I, 45][1]. ergo etiam $BZM = AK\Lambda + KZE$.

et simul demonstratum est, esse $BKEM = \Lambda KA$.

XII.

Iisdem positis si in altera sectione duo puncta sumuntur, et ab utroque parallelae ducuntur, eodem modo quadranguli ab iis effecti aequales erunt.



sint enim eadem, quae antea, et in AB sectione puncta quaelibet sumantur B, K, et per ea ducantur

1) In secunda figura ex I, 43 erit
$$BMZ = \Lambda\Theta Z \div \Theta AE = KZE \div AK\Lambda.$$
et hoc significat illud διαφέρει.

ἐπεὶ γὰρ δέδεικται ἴσον τὸ μὲν ΑΟΠ τρίγωνον τῷ ΚΟΕΣ τετραπλεύρῳ, τὸ δὲ ΑΜΝ τῷ ΒΜΕΡ, λοιπὸν ἄρα τὸ ΚΡ λιπὸν ἢ προσλαβὸν τὸ ΒΟ ἴσον ἐστὶ τῷ ΜΠ. καὶ κοινοῦ προστεθέντος ἢ ἀφαιρουμένου τοῦ ΒΟ τὸ ΒΠ ἴσον ἐστὶ τῷ ΞΣ.

ιγ'.

Ἐὰν ἐν ταῖς κατὰ συζυγίαν ἀντικειμέναις τῶν ἐφεξῆς τομῶν εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, καὶ διὰ τῶν ἁφῶν διάμετροι ἀχθῶσιν, ἴσα ἔσται τὰ τρίγωνα, ὧν κορυφὴ κοινὴ τὸ κέντρον ἐστὶ τῶν ἀντικειμένων.

ἔστωσαν συζυγεῖς ἀντικείμεναι, ἐφ' ὧν τὰ Α, Β, Γ, Δ σημεῖα, καὶ τῶν Α, Β τομῶν ἐφαπτέσθωσαν αἱ ΒΕ, ΑΕ συμπίπτουσαι κατὰ τὸ Ε, καὶ ἔστω κέντρον τὸ Θ, καὶ ἐπιζευχθεῖσαι αἱ ΑΘ, ΒΘ ἐκβεβλήσθωσαν ἐπὶ τὰ Δ, Γ. λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΒΖΘ τρίγωνον τῷ ΑΗΘ τριγώνῳ.

ἤχθωσαν γαρ διὰ τῶν Α, Θ παρὰ τὴν ΒΕ αἱ ΑΚ, ΛΘΜ. ἐπεὶ οὖν ἐφάπτεται τῆς Β τομῆς ἡ ΒΖΕ, καὶ διὰ τῆς ἁφῆς διάμετρός ἐστιν ἡ ΔΘΒ, καὶ παρὰ τὴν ΒΕ ἐστιν ἡ ΛΜ, συζυγής ἐστιν ἡ ΛΜ διάμετρος τῇ ΒΔ διαμέτρῳ ἡ καλουμένη δευτέρα διάμετρος· διὰ δὲ τοῦτο κατῆκται ἡ ΑΚ τεταγμένως ἐπὶ την ΒΔ. καὶ ἐφάπτεται ἡ ΑΗ· τὸ ἄρα ὑπὸ ΚΘΗ ἴσον ἐστὶ τῷ ἀπὸ ΒΘ. ἔστιν ἄρα, ὡς ἡ ΚΘ πρὸς ΘΒ, ἡ ΒΘ πρὸς ΗΘ. ἀλλ' ὡς ἡ ΚΘ πρὸς ΘΒ, ἡ ΚΑ πρὸς

---

3. λειπόν V; corr. p. 4. προστιθεν̄ V, προστιθέντος cv, corr. p; fort. προστιθεμένου. Deinde del. ἤ m. 1 V. 13. σημεῖα] delendum? 19. ΛΘΜ] ΘΛΜ V; corr. p. 24. ΚΘΗ] ΚΗΘ V; corr. Memus. 25. ἀπό] om. V; corr. p.

$ABMN$, $K\Xi O\Upsilon\Pi$ rectae $A\Delta$ parallelae, rectae autem AE parallelae $B\Xi P$, $\Delta K\Sigma$. dico, esse $B\Pi = KP$.

nam quoniam demonstratum est [prop. XI coroll.], esse $AO\Pi = KOE\Sigma$ et $AMN = BMEP$, erit


$$KP \div BO = M\Pi$$

uel[1]) $KP + BO = M\Pi$. et communi adiecto uel ablato BO, erit $B\Pi = \Xi\Sigma$.

XIII.

Si in oppositis coniugatis rectae sectiones deinceps positas contingentes inter se concurrunt, et per puncta contactus diametri ducuntur, aequales erunt trianguli, quorum uertex communis centrum est oppositarum.

sint oppositae coniugatae, in quibus sint puncta A, B, Γ, Δ, et sectiones A, B contingant BE, AE in E concurrentes, centrum autem sit Θ, et ductae $A\Theta$, $B\Theta$ ad Δ, Γ producantur. dico, esse $BZ\Theta = AH\Theta$.



ducantur enim per A, Θ rectae BE parallelae AK, $\Lambda\Theta M$. iam quoniam sectionem B contingit BZE, et per punctum contactus diametrus ducta est $\Delta\Theta B$, et rectae BE parallela est ΛM, ΛM diametrus est cum diametro $B\Delta$ coniugata, secunda diametrus quae uocatur [II, 20]; qua de causa AK ad $B\Delta$ ordinate ducta est [I def. 6]. et AH contingit; itaque erit [I, 38] $K\Theta \times \Theta H = B\Theta^2$. quare [Eucl. VI, 17]

$$K\Theta : \Theta B = B\Theta : H\Theta.$$

uerum $K\Theta : \Theta B = KA : BZ = A\Theta : \Theta Z$ [Eucl. VI, 4];

1) In secunda figura.

BZ καὶ ἡ *AΘ* πρὸς *ΘZ*· καὶ ὡς ἄρα ἡ *AΘ* πρὸς *ZΘ*, ἡ *BΘ* πρὸς *HΘ*. καί εἰσιν αἱ ὑπὸ *BΘZ*, *HΘZ* δυσὶν ὀρθαῖς ἴσαι· ἴσον ἄρα τὸ *AHΘ* τρίγωνον τῷ *BΘZ* τριγώνῳ.

ιδ'.

Τῶν αὐτῶν ὑποκειμένων ἐὰν ἐφ' ὁποτέρας τῶν τομῶν σημεῖόν τι ληφθῇ, καὶ ἀπ' αὐτοῦ παράλληλοι ἀχθῶσι ταῖς ἐφαπτομέναις ἕως τῶν διαμέτρων, τὸ γινόμενον πρὸς τῷ κέντρῳ τρίγωνον τοῦ γινομένου περὶ τὴν αὐτὴν γωνίαν τριγώνου διοίσει τριγώνῳ τῷ βάσιν μὲν ἔχοντι τὴν ἐφαπτομένην, κορυφὴν δὲ τὸ κέντρον.

ἔστω τὰ μὲν ἄλλα τὰ αὐτά, εἰλήφθω δέ τι σημεῖον ἐπὶ τῆς *B* τομῆς τὸ *Ξ*, καὶ δι' αὐτοῦ παρὰ μὲν τὴν *AH* ἤχθωσαν ἡ *ΞΡΣ*, παρὰ δὲ τὴν *BE* ἡ *ΞTO*. λέγω, ὅτι τὸ *OΘT* τρίγωνον τοῦ *ΞΣT* διαφέρει τῷ *ΘBZ*.

ἤχθω γὰρ ἀπὸ τοῦ *A* παρὰ τὴν *BZ* ἡ *AΥ*. ἐπεὶ οὖν διὰ τὰ αὐτὰ τοῖς πρότερον τῆς *AΛ* τομῆς διάμετρος μέν ἐστιν ἡ *ΛΘM*, συζυγὴς δὲ αὐτῇ καὶ δευτέρα διάμετρος ἡ *ΔΘB*, καὶ ἀπὸ τοῦ *A* ἐφάπτεται ἡ *AH*, κατῆκται δὲ παρὰ τὴν *ΛM* ἡ *AΥ*, ἕξει ἡ *AΥ* πρὸς τὴν *ΥH* τὸν συγκείμενον λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ *ΘΥ* πρὸς *ΥA* καὶ ἐκ τοῦ ὃν ἔχει ἡ τοῦ πρὸς τῇ *ΛM* εἴδους πλαγία πλευρὰ πρὸς τὴν ὀρθίαν. ἀλλ' ὡς ἡ *AΥ* πρὸς *ΥH*, ἡ *ΞT* πρὸς *TΣ*, ὡς δὲ ἡ *ΘΥ* πρὸς *ΥA*, ἡ *ΘT* πρὸς *TO* καὶ ἡ *ΘB* πρὸς *BZ*,

4. *BΘZ*] *AΘZ* V; corr. Memus. 15. ἤχθω? *ΞTO*] *ΞOT* V; corr. p. 18. *BZ*] cvp; in V obscurum est *B*. 22. *ΛM*] p, *Λ* e corr. m. 1 V; corr. ex *AM* c; *AM* v. 24. ἐκ τοῦ] ἐξ οὗ V; corr. ego; τοῦ p. 27. *TO*] cvp, *O* obscuratum in V.

itaque etiam $A\Theta : Z\Theta = B\Theta : H\Theta$. et


$$\angle B\Theta Z + H\Theta Z$$

duobus rectis aequales sunt; ergo $AH\Theta = B\Theta Z$ [u. Eutocius].

XIV.

Iisdem suppositis si in utralibet sectionum punctum aliquod sumitur, et ab eo contingentibus parallelae rectae usque ad diametros ducuntur, triangulus ad centrum ortus a triangulo in eodem angulo orto differet triangulo basim habenti contingentem, uerticem autem centrum.

sint cetera eadem, sumatur autem in B sectione punctum aliquod Ξ, et per id rectae AH parallela ducatur $\Xi P\Sigma$, rectae autem BE parallela ΞTO. dico, esse $O\Theta T = \Xi\Sigma T + \Theta BZ$.



ducatur enim ab A rectae BZ parallela $A\Upsilon$. iam quoniam eadem de causa, qua antea, $A\Theta M$ diametrus est sectionis $A\Lambda$, $\Delta\Theta B$ autem cum ea coniugata et secunda diametrus [II, 20], et ab A contingit AH, rectae autem AM parallela ducta est $A\Upsilon$, habebit $A\Upsilon : \Upsilon H$ rationem compositam ex ratione $\Theta\Upsilon : \Upsilon A$ et ea, quam habet latus transuersum figurae ad AM adplicatae ad rectum [I, 40]. est autem

$$A\Upsilon : \Upsilon H = \Xi T : T\Sigma$$

et $\Theta\Upsilon : \Upsilon A = \Theta T : TO = \Theta B : BZ$ [Eucl. VI, 4], et ut latus transuersum figurae ad AM adplicatae ad

ὡς δὲ ἡ τοῦ πρὸς τῇ AM εἴδους πλαγία πρὸς τὴν ὀρθίαν, ἡ τοῦ πρὸς τῇ $B\Delta$ ὀρθία πρὸς τὴν πλαγίαν. ἕξει ἄρα ἡ ΞT πρὸς $T\Sigma$ τὸν συνημμένον λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ ΘB πρὸς BZ, τουτέστιν ἡ ΘT πρὸς TO, καὶ τοῦ ὃν ἔχει ἡ τοῦ πρὸς τῇ $B\Delta$ εἴδους ὀρθία πλευρὰ πρὸς τὴν πλαγίαν. καὶ διὰ τὰ δεδειγμένα ἐν τῷ μα' τοῦ α' βιβλίου τὸ $T\Theta O$ τρίγωνον τοῦ $\Xi T\Sigma$ διαφέρει τῷ $BZ\Theta$.

ὥστε καὶ τῷ $AH\Theta$.

ιε'.

Ἐὰν μιᾶς τῶν κατὰ συζυγίαν ἀντικειμένων εὐθεῖαι ἐπιψαύουσαι συμπίπτωσι, καὶ διὰ τῶν ἁφῶν διάμετροι ἀχθῶσι, ληφθῇ δέ τι σημεῖον ἐφ' ὁποτέρας τῶν συζυγῶν τομῶν, καὶ ἀπ' αὐτοῦ παράλληλοι ἀχθῶσι ταῖς ἐφαπτομέναις ἕως τῶν διαμέτρων, τὸ γινόμενον ὑπ' αὐτῶν πρὸς τῇ τομῇ τρίγωνον τοῦ γινομένου τριγώνου πρὸς τῷ κέντρῳ μεῖζόν ἐστι τριγώνῳ τῷ βάσιν μὲν ἔχοντι τὴν ἐφαπτομένην, κορυφὴν δὲ τὸ κέντρον τῶν ἀντικειμένων.

ἔστωσαν κατὰ συζυγίαν ἀντικείμεναι αἱ AB, $H\Sigma$, T, Ξ, ὧν κέντρον τὸ Θ, καὶ τῆς AB τομῆς ἐφαπτέσθωσαν αἱ $A\Delta E$, $B\Delta\Gamma$, καὶ διὰ τῶν A, B ἁφῶν ἤχθωσαν διάμετροι αἱ $A\Theta Z\Phi$, $B\Theta T$, καὶ εἰλήφθω ἐπὶ τῆς $H\Sigma$ τομῆς σημεῖόν τι τὸ Σ, καὶ δι' αὐτοῦ ἤχθω παρὰ μὲν τὴν $B\Gamma$ ἡ ΣZA, παρὰ δὲ τὴν AE ἡ $\Sigma\Upsilon$. λέγω, ὅτι τὸ $\Sigma A\Upsilon$ τρίγωνον τοῦ ΘAZ τριγώνου μεῖζόν ἐστι τῷ $\Theta\Gamma B$.

ἤχθω γὰρ διὰ τοῦ Θ παρὰ τὴν $B\Gamma$ ἡ $\Xi\Theta H$, παρὰ

---

5. TO] $T\Theta$ V; corr. Memus. 23. $B\Theta T$] T V; corr. p. 28. τήν] vp, τή V; τό c.

rectum, ita latus rectum figurae ad $B\Delta$ adplicatae ad transuersum [I, 56]. itaque ratio $\Xi T : T\Sigma$ rationem habebit compositam ex ratione $\Theta B : BZ$ siue $\Theta T : TO$ et ea, quam habet latus rectum figurae ad $B\Delta$ adplicatae ad transuersum. et propter ea, quae in propositione XLI libri primi demonstrauimus, erit

$$T\Theta O = \Xi T\Sigma + BZ\Theta.$$

quare etiam $T\Theta O = \Xi T\Sigma + \Lambda H\Theta$ [prop. XIII].

XV.

Si rectae unam sectionum oppositarum coniugatarum contingentes concurrunt, et per puncta contactus diametri ducuntur, in quauis autem sectionum coniugatarum punctum aliquod sumitur, et ab eo contingentibus parallelae rectae usque ad diametros ducuntur, triangulus ab iis ad sectionem effectus triangulo ad centrum orto maior est triangulo basim habenti contingentem, uerticem autem centrum oppositarum.

sint oppositae coniugatae AB, $H\Sigma$, T, Ξ, quarum centrum sit Θ, et sectionem AB contingant $A\Delta E$, $B\Delta\Gamma$, per A, B autem puncta contactus ducantur diametri $A\Theta Z\Phi$, $B\Theta T$, et in sectione $H\Sigma$ sumatur punctum aliquod Σ, et per id rectae $B\Gamma$ parallela ducatur $\Sigma Z\Lambda$, rectae autem AE parallela ΣT. dico, esse $\Sigma\Lambda T = \Theta\Lambda Z + \Theta\Gamma B$.

ducatur enim per Θ rectae $B\Gamma$ parallela $\Xi\Theta H$, per H autem rectae AE parallela KIH, et rectae BT parallela ΣO; manifestum igitur, esse ΞH, BT diametros coniugatas [II, 20], et rectam ΣO rectae BT parallelam ad ΘHO ordinate ductam esse [I def. 6], et $\Sigma\Lambda\Theta O$ parallelogrammum esse.


δὲ τὴν ΑΕ διὰ τοῦ Η ἡ ΚΙΗ, παρὰ δὲ τὴν ΒΤ ἡ ΣΟ· φανερὸν δή, ὅτι συζυγής ἐστι διάμετρος ἡ ΞΗ τῇ ΒΤ, καὶ ὅτι ἡ ΣΟ παράλληλος οὖσα τῇ ΒΤ κατῆκται τεταγμένως ἐπὶ τὴν ΘΗΟ, καὶ ὅτι παραλληλόγραμμόν ἐστι τὸ ΣΛΘΟ.

ἐπεὶ οὖν ἐφάπτεται ἡ ΒΓ, καὶ διὰ τῆς ἁφῆς ἐστιν ἡ ΒΘ, καὶ ἑτέρα ἐφαπτομένη ἐστὶν ἡ ΑΕ, γεγονέτω ὡς ἡ ΔΒ πρὸς ΒΕ, ἡ ΜΝ πρὸς τὴν διπλασίαν τῆς ΒΓ· ἡ ἄρα ΜΝ ἐστιν ἡ καλουμένη ὀρθία τοῦ παρὰ τὴν ΒΤ εἴδους. δίχα τετμήσθω ἡ ΜΝ κατὰ τὸ Π· ἔστιν ἄρα, ὡς ἡ ΔΒ πρὸς ΒΕ, ἡ ΜΠ πρὸς ΒΓ. πεποιήσθω δή, ὡς ἡ ΞΗ πρὸς ΤΒ, ἡ ΤΒ πρὸς Ρ· ἔσται δὴ καὶ ἡ Ρ ἡ καλουμένη ὀρθία τοῦ παρὰ τὴν ΞΗ εἴδους. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΔΒ πρὸς ΒΕ, ἡ ΜΠ πρὸς ΓΒ, ἀλλ' ὡς μὲν ἡ ΔΒ πρὸς ΒΕ, τὸ ἀπὸ ΔΒ πρὸς τὸ ὑπὸ ΔΒΕ, ὡς δὲ ἡ ΜΠ πρὸς ΓΒ, τὸ ὑπὸ ΜΠ, ΒΘ πρὸς τὸ ὑπὸ ΓΒΘ, ὡς ἄρα τὸ ἀπὸ ΔΒ πρὸς τὸ ὑπὸ ΔΒΕ, τὸ ὑπὸ ΠΜ, ΒΘ πρὸς τὸ ὑπὸ ΓΒΘ. ἴσον δὲ τὸ ὑπὸ ΜΠ, ΒΘ τῷ ἀπὸ ΘΗ, διότι τὸ μὲν ἀπὸ ΞΗ ἴσον ἐστὶ τῷ ὑπὸ ΤΒ, ΜΝ, καὶ τὸ μὲν ὑπὸ ΜΠ, ΒΘ τέταρτον τοῦ ὑπὸ ΤΒ, ΜΝ, τὸ δὲ ἀπὸ ΗΘ τέταρτον τοῦ ἀπὸ ΗΞ· ἔστιν ἄρα, ὡς τὸ ἀπὸ ΔΒ πρὸς τὸ ὑπὸ ΔΒΕ, τὸ ἀπὸ ΗΘ πρὸς τὸ ὑπὸ ΓΒΘ. ἐναλλάξ, ὡς τὸ ἀπὸ ΔΒ πρὸς τὸ ἀπὸ ΗΘ, τὸ ὑπὸ ΔΒΕ πρὸς τὸ ὑπὸ ΓΒΘ. ἀλλ' ὡς μὲν τὸ ἀπὸ ΔΒ πρὸς τὸ ἀπὸ ΘΗ, τὸ ΔΒΕ τρίγωνον πρὸς τὸ ΗΘΙ· ὅμοια γάρ· ὡς δὲ τὸ ὑπὸ ΔΒΕ πρὸς τὸ ὑπὸ ΓΒΘ, τὸ ΔΒΕ τρίγωνον πρὸς τὸ ΓΒΘ· ὡς ἄρα τὸ ΔΒΕ τρίγωνον πρὸς τὸ ΗΘΙ, τὸ ΔΒΕ πρὸς

---

12. πεποιείσθω V; corr. cp.

iam quoniam $B\Gamma$ contingit, et $B\Theta$ per punctum contactus ducta est, et alia contingens est AE, fiat



$\varDelta B : BE = MN : 2B\Gamma$; MN igitur latus est, rectum quod uocatur, figurae ad BT adplicatae [I, 50]. secetur MN in Π in duas partes aequales; itaque

$$\varDelta B : BE = M\Pi : B\Gamma.$$

fiat igitur $\Xi H : TB = TB : P$; itaque etiam P latus erit, rectum quod uocatur, figurae ad ΞH adplicatae [I, 56]. iam quoniam $\varDelta B : BE = M\Pi : \Gamma B$, uerum $\varDelta B : BE = \varDelta B^2 : \varDelta B \times BE$ et

$$M\Pi : \Gamma B = M\Pi \times B\Theta : \Gamma B \times B\Theta,$$

erit $\varDelta B^2 : \varDelta B \times BE = \Pi M \times B\Theta : \Gamma B \times B\Theta$. est autem $M\Pi \times B\Theta = \Theta H^2$, quia $\Xi H^2 = TB \times MN$ [I, 56], et [I, 30] $M\Pi \times B\Theta = \frac{1}{4} TB \times MN$,

$$H\Theta^2 = \tfrac{1}{4} H\Xi^2;$$

itaque erit $\varDelta B^2 : \varDelta B \times BE = H\Theta^2 : \Gamma B \times B\Theta$. permutando [Eucl. V, 16]

$$\varDelta B^2 : H\Theta^2 = \varDelta B \times BE : \Gamma B \times B\Theta.$$

In V praeter hanc figuram rectangula quaedam trianguli que inueniuntur.

τὸ ΓΒΘ. ἴσον ἄρα ἐστὶ τὸ ΗΘΙ τῷ ΓΒΘ [τὸ ἄρα ΗΘΚ τρίγωνον τοῦ ΘΙΚ διαφέρει τῷ ΙΘΗ, τουτέστι τῷ ΓΒΘ]. πάλιν ἐπεὶ ἡ ΘΒ πρὸς ΒΓ τὸν συνημμένον ἔχει λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ ΘΒ πρὸς ΜΠ καὶ ἡ ΠΜ πρὸς ΒΓ, ἀλλ' ὡς ἡ ΘΒ πρὸς ΜΠ, ἡ ΤΒ πρὸς ΜΝ καὶ ἡ Ρ πρὸς ΞΗ, ὡς δὲ ἡ ΜΠ πρὸς ΒΓ, ἡ ΔΒ πρὸς ΒΕ, ἕξει ἄρα ἡ ΘΒ πρὸς ΒΓ τὸν συγκείμενον λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ ΔΒ πρὸς ΒΕ καὶ ἡ Ρ πρὸς ΞΗ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΒΓ τῇ ΣΛ, καὶ ὅμοιον τὸ ΘΓΒ τρίγωνον τῷ ΘΛΖ, καί ἐστιν, ὡς ἡ ΘΒ πρὸς ΓΒ, ἡ ΘΛ πρὸς ΛΖ, ἕξει ἄρα ἡ ΘΛ πρὸς ΛΖ τὸν συνημμένον λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ Ρ πρὸς ΞΗ καὶ ἡ ΔΒ πρὸς ΒΕ, τουτέστιν ἡ ΘΗ πρὸς ΘΙ. ἐπεὶ οὖν ὑπερβολή ἐστιν ἡ ΗΣ διάμετρον ἔχουσα τὴν ΞΗ, ὀρθίαν δὲ τὴν Ρ, καὶ ἀπό τινος σημείου τοῦ Σ κατῆκται ἡ ΣΟ, καὶ ἀναγέγραπται ἀπὸ μὲν τῆς ἐκ τοῦ κέντρου τῆς ΘΗ εἶδος τὸ ΘΙΗ, ἀπὸ δὲ τῆς κατηγμένης τῆς ΣΟ ἤτοι τῆς ΘΛ ἴσης αὐτῇ τὸ ΘΛΖ, ἀπὸ δὲ τῆς ΘΟ μεταξὺ τοῦ κέντρου καὶ τῆς κατηγμένης ἤτοι τῆς ΣΛ ἴσης αὐτῇ τὸ ΣΛΥ εἶδος ὅμοιον τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τῷ ΘΙΗ, καὶ ἔχει τοὺς συγκειμένους λόγους, ὡς εἴρηται, τὸ ΣΛΥ τρίγωνον τοῦ ΘΛΖ μεῖζόν ἐστι τῷ ΘΓΒ.

ιϛ'.

Ἐὰν κώνου τομῆς ἢ κύκλου περιφερείας δύο εὐθεῖαι ἐπιψαύουσαι συμπίπτωσιν, ἀπὸ δέ τινος σημείου

---

1. τὸ ἄρα — 3. ΓΒΘ] deleo; nam inutilia sunt. 2. τῷ ΙΘΗ] ὡ̄ι θη̃ V; corr. pc. 6. ἡ Ρ] η̄ρ V; corr. p. ΞΗ] ΞΝ V; corr. Memus. 7. ΒΕ] cp, ΒΕ uel ΚΕ V, ΚΕ v. 9. ΞΗ] ΞΝ V; corr. Memus. 10. ΒΓ] Β V; corr. p. καί] bis V; corr. cpv. 19. ἴση V; corr. Memus.

est autem [Eucl. VI, 19] $\Delta B^2 : \Theta H^2 = \Delta BE : H\Theta I$; trianguli enim hi similes sunt [Eucl. I, 29]; et $\Delta B \times BE : \Gamma B \times B\Theta = \Delta BE : \Gamma B\Theta$ [Eucl. VI, 23]. itaque $\Delta BE : H\Theta I = \Delta BE : \Gamma B\Theta$. quare $H\Theta I = \Gamma B\Theta$ [Eucl. V, 9]. itaque erit

$$H\Theta K = \Theta IK + I\Theta H = \Theta IK + \Gamma B\Theta.$$

rursus quoniam est

$$\Theta B : B\Gamma = (\Theta B : M\Pi) \times (M\Pi : B\Gamma)$$

et $\Theta B : M\Pi = TB : MN$ [I, 30] $= P : \Xi H$ et

$$M\Pi : B\Gamma = \Delta B : BE,$$

erit $\Theta B : B\Gamma = (\Delta B : BE) \times (P : \Xi H)$. et quoniam $B\Gamma$, $\Sigma\Lambda$ parallelae sunt, et trianguli $\Theta\Gamma B$, $\Theta\Lambda Z$ similes [Eucl. I, 29], et $\Theta B : \Gamma B = \Theta\Lambda : \Lambda Z$ [Eucl. VI, 4], erit

$$\Theta\Lambda : \Lambda Z = (P : \Xi H) \times (\Delta B : BE)$$
$$= \text{[Eucl. VI, 4]}\ (P : \Xi H) \times (\Theta H : \Theta I).$$

iam quoniam hyperbola est $H\Sigma$ diametrum habens ΞH, latus rectum autem P, et a puncto aliquo Σ ordinate ducta est ΣO, et in radio ΘH figura descripta est ΘIH, in ordinata autem ΣO siue $\Theta\Lambda$ [Eucl. I, 34] ei aequali $\Theta\Lambda Z$, et in ΘO inter centrum ordinatamque posita siue in $\Sigma\Lambda$ ei aequali $\Sigma\Lambda\Upsilon$ figura figurae ΘIH in radio descriptae similis, et rationes compositas habet, ut diximus, erit [I, 41] $\Sigma\Lambda\Upsilon = \Theta\Lambda Z + \Theta\Gamma B$.

XVI.

Si duae rectae coni sectionem uel circuli ambitum contingentes concurrunt, et a puncto aliquo in sectione

τῶν ἐπὶ τῆς τομῆς ἀχθῇ εὐθεῖα παρά τινα τῶν ἐφαπτομένων τέμνουσα τὴν τομὴν καὶ τὴν ἑτέραν τῶν ἐφαπτομένων, ἔσται, ὡς τὰ ἀπὸ τῶν ἐφαπτομένων τετράγωνα πρὸς ἄλληλα, οὕτως τὸ περιεχόμενον χωρίον ὑπὸ τῶν μεταξὺ τῆς τομῆς καὶ τῆς ἐφαπτομένης πρὸς τὸ ἀπὸ τῆς ἀπολαμβανομένης πρὸς τῇ ἁφῇ τετράγωνον.


ἔστω κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ *ΑΒ*, καὶ ἐφαπτέσθωσαν αὐτῆς αἱ *ΑΓ*, *ΓΒ* συμπίπτουσαι κατὰ τὸ *Γ*, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς *ΑΒ* τομῆς τὸ *Δ*, καὶ δι' αὐτοῦ ἤχθω παρὰ τὴν *ΓΒ* ἡ *ΕΔΖ*. λέγω, ὅτι ἐστίν, ὡς τὸ ἀπὸ *ΒΓ* πρὸς τὸ ἀπὸ *ΑΓ*, οὕτως τὸ ὑπὸ *ΖΕΔ* πρὸς τὸ ἀπὸ *ΕΑ*.

ἤχθωσαν γὰρ διὰ τῶν *Α*, *Β* διάμετροι ἥ τε *ΑΗΘ* καὶ ἡ *ΚΒΛ*, διὰ δὲ τοῦ *Δ* τῇ *ΑΛ* παράλληλος ἡ *ΔΜΝ*· φανερὸν αὐτόθεν, ὅτι ἴση ἐστὶν ἡ *ΔΚ* τῇ *ΚΖ* καὶ τὸ *ΑΕΗ* τρίγωνον τῷ *ΛΔ* τετραπλεύρῳ καὶ τὸ *ΒΛΓ* τρίγωνον τῷ *ΑΓΘ*.


ἐπεὶ οὖν ἡ *ΖΚ* τῇ *ΚΔ* ἐστιν ἴση, καὶ πρόσκειται ἡ *ΔΕ*, τὸ ὑπὸ *ΖΕΔ* μετὰ τοῦ ἀπὸ *ΔΚ* ἴσον ἐστὶ τῷ ἀπὸ *ΚΕ*. καὶ ἐπεὶ ὅμοιόν ἐστι τὸ *ΕΛΚ* τρίγωνον τῷ *ΔΝΚ*, ἔστιν, ὡς τὸ ἀπὸ *ΕΚ* πρὸς τὸ ἀπὸ *ΚΔ*, οὕτως τὸ *ΕΚΛ* τρίγωνον πρὸς τὸ *ΔΝΚ*. καὶ ἐναλλάξ· καὶ ὡς ὅλον τὸ ἀπὸ *ΕΚ* πρὸς ὅλον τὸ *ΕΛΚ* τρίγωνον, οὕτως ἀφαιρεθὲν τὸ ἀπὸ *ΔΚ* πρὸς ἀφαιρεθὲν τὸ *ΔΝΚ* τρίγωνον· καὶ λοιπὸν ἄρα τὸ ὑπὸ *ΖΕΔ* πρὸς λοιπὸν τὸ *ΔΛ* ἐστιν, ὡς τὸ ἀπὸ *ΕΚ* πρὸς

17. *ΚΒΛ*] *ΒΚΛ* Vp; corr. Comm.

posito recta alteri contingentium parallela ducitur sectionem alteramque contingentem secans, erit, ut quadrata contingentium inter se, ita spatium comprehensum rectis inter sectionem contingentemque positis ad quadratum rectae ad punctum contactus abscisae.



sit AB coni sectio uel ambitus circuli, et contingant $A\Gamma$, ΓB in Γ concurrentes, sumaturque in sectione AB punctum aliquod Δ, et per id ducatur $E\Delta Z$ rectae ΓB parallela. dico, esse



$B\Gamma^2 : A\Gamma^2 = ZE \times E\Delta : EA^2$.

ducantur enim per A, B diametri $AH\Theta$, $KB\Lambda$, per Δ autem rectae $A\Lambda$ parallela ΔMN; statim igitur adparet, esse $\Delta K = KZ$ [I, 46—47] et $AEH = \Lambda\Delta$ [prop. II] et $B\Lambda\Gamma = A\Gamma\Theta$ [prop. I].

iam quoniam est $ZK = K\Delta$, et adiecta est ΔE, erit [Eucl. II, 6] $ZE \times E\Delta + \Delta K^2 = KE^2$. et quoniam trianguli $E\Lambda K$, ΔNK similes sunt, erit [Eucl. VI, 19]

$$EK^2 : K\Delta^2 = EK\Lambda : \Delta NK.$$

et permutando [Eucl. V, 16]

$$EK^2 : E\Lambda K = \Delta K^2 : \Delta NK;$$

In V praeter nostras figuras et tria rectangula totidemque triangulos duae figurae adsunt alium casum in parabola et hyperbola repraesentantes.

τὸ *ΕΛΚ* τρίγωνον. ἀλλ' ὡς τὸ ἀπὸ *ΕΚ* πρὸς τὸ *ΕΛΚ*, οὕτως τὸ ἀπὸ *ΓΒ* πρὸς τὸ *ΛΓΒ*· καὶ ὡς ἄρα τὸ ὑπὸ *ΖΕΔ* πρὸς τὸ *ΛΔ* τετράπλευρον, τὸ ἀπὸ *ΓΒ* πρὸς τὸ *ΛΓΒ* τρίγωνον. ἴσον δὲ τὸ μὲν *ΔΛ* τῷ *ΑΕΗ* τριγώνῳ, τὸ δὲ *ΛΓΒ* τῷ *ΑΘΓ*· καὶ ὡς ἄρα τὸ ὑπὸ *ΖΕΔ* πρὸς τὸ *ΑΕΗ* τρίγωνον, τὸ ἀπὸ *ΓΒ* πρὸς τὸ *ΑΘΓ*. ἐναλλάξ, ὡς τὸ ὑπο *ΖΕΔ* πρὸς τὸ ἀπὸ *ΓΒ*, τὸ *ΑΕΗ* τρίγωνον πρὸς τὸ *ΑΘΓ*. ὡς δὲ τὸ *ΑΗΕ* πρὸς τὸ *ΑΘΓ*, τὸ ἀπὸ *ΕΑ* πρὸς τὸ ἀπὸ *ΑΓ*· καὶ ὡς ἄρα τὸ ὑπὸ *ΖΕΔ* πρὸς τὸ ἀπὸ *ΓΒ*, τὸ ἀπο *ΕΑ* πρὸς τὸ ἀπὸ *ΑΓ*. καὶ ἐναλλάξ.

ιζ'.

Ἐὰν κώνου τομῆς ἢ κύκλου περιφερείας δύο εὐθεῖαι ἐπιψαύουσαι συμπίπτωσι, ληφθῇ δὲ ἐπὶ τῆς τομῆς δύο τυχόντα σημεῖα, καὶ ἀπ' αὐτῶν ἀχθῶσιν ἐν τῇ τομῇ παρὰ τὰς ἐφαπτομένας τέμνουσαι ἀλλήλας τε καὶ τὴν γραμμήν, ἔσται, ὡς τὰ ἀπὸ τῶν ἐφαπτομένων τετράγωνα πρὸς ἄλληλα, τὰ περιεχόμενα ὑπὸ τῶν ὁμοίως λαμβανομένων εὐθειῶν.

ἔστω κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ *ΑΒ*, καὶ τῆς *ΑΒ* ἐφαπτόμεναι αἱ *ΑΓ*, *ΓΒ* συμπίπτουσαι κατὰ τὸ *Γ*, καὶ εἰλήφθω ἐπὶ τῆς τομῆς τυχόντα σημεῖα τὰ *Δ*, *Ε*, καὶ δι' αὐτῶν παρὰ τας *ΑΓ*, *ΓΒ* ἤχθωσαν αἱ *ΕΖΙΚ*, *ΔΖΗΘ*. λέγω, ὅτι ἐστίν, ὡς τὸ ἀπὸ *ΑΓ* πρὸς τὸ ἀπὸ *ΓΒ*, τὸ ὑπὸ *ΚΖΕ* πρὸς τὸ ὑπὸ *ΘΖΔ*.

ἤχθωσαν γὰρ διὰ τῶν *Α*, *Β* διάμετροι αἱ *ΑΛΜΝ*, *ΒΟΞΠ*, καὶ ἐκβεβλήσθωσαν αἵ τε ἐφαπτόμεναι καὶ αἱ παράλληλοι μέχρι τῶν διαμέτρων, καὶ ἤχθωσαν ἀπὸ

---

8. *ΓΒ*] vpc, corr. ex *ΓΕΒ* m. 1 V. 24. ἀπὸ *ΑΓ*] *ΑΓ* V; corr. p.

quare etiam [Eucl. V, 19] reliquum

$$Z E \times E \varDelta : \varDelta \varLambda = E K^2 : E \varLambda K.$$

est autem $E K^2 : E \varLambda K = \varGamma B^2 : \varLambda \varGamma B$ [Eucl. VI, 4]; quare etiam $Z E \times E \varDelta : \varLambda \varDelta = \varGamma B^2 : \varLambda \varGamma B$. est autem $\varDelta \varLambda = A E H$ et $\varLambda \varGamma B = A \varTheta \varGamma$; itaque etiam

$$Z E \times E \varDelta : A E H = \varGamma B^2 : A \varTheta \varGamma.$$

permutando [Eucl. V, 16]

$$Z E \times E \varDelta : \varGamma B^2 = A E H : A \varTheta \varGamma.$$

est autem [Eucl. VI, 4] $A H E : A \varTheta \varGamma = E A^2 : A \varGamma^2$; itaque etiam $Z E \times E \varDelta : \varGamma B^2 = E A^2 : A \varGamma^2$. et permutando [Eucl. V, 16].

XVII.


Si duae rectae coni sectionem uel ambitum circuli contingentes concurrunt, et in sectione duo quaelibet puncta sumuntur, ab iisque in sectione contingentibus parallelae ducuntur rectae et inter se et lineam secantes, erunt, ut quadrata contingentium inter se, ita rectangula comprehensa rectis eodem modo sumptis.

sit AB coni sectio uel ambitus circuli et AB contingentes $A\varGamma$, $\varGamma B$ in $\varGamma$ concurrentes, sumanturque in sectione puncta quaelibet $\varDelta$, E, et per ea rectis $A\varGamma$, $\varGamma B$ parallelae ducantur $EZIK$, $\varDelta ZH\varTheta$. dico, esse $A\varGamma^2 : \varGamma B^2 = KZ \times ZE : \varTheta Z \times Z\varDelta$.

ducantur enim per A, B diametri $A\varLambda MN$, $BO\varXi\varPi$, producanturque et contingentes et parallelae usque ad diametros, et a $\varDelta$, E contingentibus parallelae ducantur $\varDelta\varXi$, EM; manifestum igitur, esse $KI = IE$, $\varTheta H = H\varDelta$ [I, 46—47].

τῶν *Δ*, *Ε* παρὰ τὰς ἐφαπτομένας αἱ *ΔΞ*, *ΕΜ*· φανερὸν δή, ὅτι ἡ *ΚΙ* τῇ *ΙΕ* ἐστιν ἴση καὶ ἡ *ΘΗ* τῇ *ΗΔ*.

ἐπεὶ οὖν ἡ *ΚΕ* τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ *Ι*, εἰς δὲ ἄνισα κατὰ τὸ *Ζ*, τὸ ὑπὸ *ΚΖΕ* μετὰ τοῦ ἀπὸ *ΖΙ* ἴσον ἐστὶ τῷ ἀπὸ *ΕΙ*. καὶ ἐπεὶ ὅμοιά ἐστι τὰ τρίγωνα διὰ τὰς παραλλήλους, ἔστιν, ὡς ὅλον τὸ ἀπὸ *ΕΙ* πρὸς ὅλον τὸ *ΙΜΕ* τρίγωνον, οὕτως ἀφαιρεθὲν τὸ ἀπὸ *ΙΖ* πρὸς ἀφαιρεθὲν τὸ *ΖΙΛ* τρίγωνον. καὶ λοιπὸν ἄρα τὸ ὑπὸ *ΚΖΕ* πρὸς λοιπὸν τὸ *ΖΜ* τετράπλευρόν ἐστιν, ὡς ὅλον τὸ ἀπὸ *ΕΙ* πρὸς ὅλον τὸ *ΜΕΙ* τρίγωνον.



ἀλλ' ὡς τὸ ἀπὸ *ΕΙ* πρὸς τὸ *ΙΜΕ* τρίγωνον, τὸ ἀπὸ *ΓΑ* πρὸς τὸ *ΓΑΝ*· ὡς ἄρα τὸ ὑπὸ *ΚΖΕ* πρὸς τὸ *ΖΜ* τετράπλευρον, οὕτως τὸ ἀπὸ *ΑΓ* πρὸς τὸ *ΓΑΝ*. ἴσον δὲ τὸ μὲν *ΑΓΝ* τῷ *ΓΠΒ*, τὸ δὲ *ΖΜ* τῷ *ΖΞ*· ὡς ἄρα τὸ ὑπὸ *ΚΖΕ* πρὸς τὸ *ΖΞ*, τὸ ἀπὸ *ΑΓ* πρὸς τὸ *ΓΒΠ*. ὁμοίως δὴ δειχθήσεται καί, ὡς τὸ ὑπὸ *ΘΖΔ* πρὸς τὸ *ΞΖ*, οὕτως τὸ ἀπὸ *ΓΒ* πρὸς τὸ *ΓΠΒ*. ἐπεὶ οὖν ἐστιν, ὡς μὲν τὸ ὑπὸ *ΚΖΕ* πρὸς τὸ *ΖΞ* τετράπλευρον, τὸ ἀπὸ *ΑΓ* πρὸς *ΓΠΒ*, διὰ δὲ τὸ ἀνάπαλιν, ὡς τὸ *ΖΞ* τετράπλευρον πρὸς τὸ ὑπὸ *ΘΖΔ*, τὸ *ΓΠΒ* πρὸς τὸ ἀπὸ *ΓΒ*, δι' ἴσου ἄρα,

---

1. *ΔΞ*] c, corr. ex *ΔΖ* m. 1 V. 5. *ΚΖΕ*] *ΖΚΕ* V; corr. Memus. 18. *ΙΜΕ*] V?, *ΙΕΜ* cp. 19. *ΓΑΝ*] ἀπὸ *ΓΑΝ* V; corr. p. 25. *ΓΠΒ*] *ΓΠ* V; corr. Memus (gbp).


quoniam igitur KE in I in partes aequales secta est, in Z autem in inaequales, erit

$$KZ \times ZE + ZI^2 = EI^2 \text{ [Eucl. II, 5].}$$

et quoniam trianguli propter parallelas similes sunt [Eucl. I, 29], erit $EI^2 : IME = IZ^2 : ZI\Delta$ [Eucl. VI, 19; V, 16]. itaque etiam reliquum [Eucl. V, 19]

$$KZ \times ZE : ZM = EI^2 : MEI.$$

est autem $EI^2 : IME = \Gamma A^2 : \Gamma AN$ [Eucl. VI, 19 V, 16]; itaque $KZ \times ZE : ZM = A\Gamma^2 : \Gamma AN$. est



autem $A\Gamma N = \Gamma\Pi B$ [prop. I] et $ZM = Z\Xi$ [prop. III]; itaque $KZ \times ZE : Z\Xi = A\Gamma^2 : \Gamma B\Pi$. iam similiter demonstrabimus, esse etiam

$$\Theta Z \times Z\Delta : \Xi Z = \Gamma B^2 : \Gamma\Pi B.$$

iam quoniam est $KZ \times ZE : Z\Xi = A\Gamma^2 : \Gamma\Pi B$ et e contrario [Eucl. V, 7 coroll.]

$$Z\Xi : \Theta Z \times Z\Delta = \Gamma\Pi B : \Gamma B^2,$$

ex aequo erit [Eucl. V, 22]

$$A\Gamma^2 : B\Gamma^2 = KZ \times ZE : \Theta Z \times Z\Delta.$$

In Vvc praeterea rectangula et trianguli quidam inueniuntur.

ὡς τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΒΓ, τὸ ὑπὸ ΚΖΕ πρὸς τὸ ὑπὸ ΘΖΔ.

ιη'.

Ἐὰν τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐπιψαύουσαι συμπίπτωσι, καὶ ληφθῇ τι σημεῖον ἐφ' ὁποτερασοῦν τῶν τομῶν, καὶ ἀπ' αὐτοῦ ἀχθῇ τις εὐθεῖα παρά τινα τῶν ἐφαπτομένων τέμνουσα τὴν τομὴν καὶ τὴν ἑτέραν ἐφαπτομένην, ἔσται, ὡς τὰ ἀπὸ τῶν ἐφαπτομένων τετράγωνα πρὸς ἄλληλα, οὕτως τὸ περιεχόμενον ὑπὸ τῶν μεταξὺ τῆς τομῆς καὶ τῆς ἐφαπτομένης πρὸς τὸ ἀπὸ τῆς ἀπολαμβανομένης πρὸς τῇ ἁφῇ τετράγωνον.

ἔστωσαν ἀντικείμεναι αἱ ΑΒ, ΜΝ καὶ ἐφαπτόμεναι αἱ ΑΓΛ, ΒΓΘ καὶ διὰ τῶν ἁφῶν διάμετροι αἱ ΑΜ, ΒΝ, καὶ εἰλήφθω ἐπὶ τῆς ΜΝ τομῆς τυχὸν σημεῖον τὸ Δ, καὶ δι' αὐτοῦ ἤχθω παρὰ τὴν ΒΘ ἡ ΕΔΖ. λέγω, ὅτι ἐστίν, ὡς τὸ ἀπὸ ΒΓ πρὸς τὸ ἀπὸ ΓΑ, τὸ ὑπὸ ΖΕΔ πρὸς τὸ ἀπὸ ΑΕ.


ἤχθω γὰρ διὰ τοῦ Δ τῇ ΑΕ παράλληλος ἡ ΔΞ. ἐπεὶ οὖν ὑπερβολή ἐστιν ἡ ΑΒ καὶ διάμετρος αὐτῆς ἡ ΒΝ καὶ ἐφαπτομένη ἡ ΒΘ καὶ τῇ ΒΘ παράλληλος ἡ ΔΖ, ἴση ἄρα ἐστὶν ἡ ΖΟ τῇ ΟΔ. καὶ πρόσκειται ἡ ΕΔ· τὸ ἄρα ὑπὸ ΖΕΔ μετὰ τοῦ ἀπὸ ΔΟ ἴσον ἐστὶ τῷ ἀπὸ ΕΟ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΕΛ τῇ ΔΞ, ὅμοιόν ἐστι τὸ ΕΟΛ τρίγωνον τῷ ΔΞΟ. ἔστιν ἄρα, ὡς ὅλον τὸ ἀπὸ ΕΟ πρὸς τὸ ΕΟΛ, οὕτως ἀφαιρεθὲν τὸ ἀπὸ ΔΟ πρὸς ἀφαιρεθὲν τὸ ΞΔΟ τρίγωνον· καὶ λοιπὸν ἄρα τὸ ὑπὸ ΔΕΖ πρὸς τὸ ΔΛ τετράπλευρόν ἐστιν, ὡς τὸ ἀπὸ ΕΟ πρὸς τὸ ΕΟΛ. ἀλλ' ὡς τὸ ἀπὸ ΟΕ πρὸς τὸ ΟΕΛ τρίγωνον, τὸ ἀπὸ

1. πρὸς τὸ ἀπὸ ΒΓ] om. V; corr. p (τῆς ΓΒ). 15. ΕΔΖ] ΔΕΖ V; corr. p.

XVIII.

Si duae rectae oppositas contingentes concurrunt, et in alterutra sectionum sumitur punctum aliquod, ab eoque recta alteri contingentium parallela ducitur sectionem alteramque contingentem secans, erit, ut quadrata contingentium inter se, ita rectangulum comprehensum rectis inter sectionem contingentemque positis ad quadratum rectae ad punctum contactus abscisae.

sint oppositae AB, MN contingentesque $A\Gamma\Lambda$, $B\Gamma\Theta$ et per puncta contactus diametri AM, BN,



sumaturque in sectione MN punctum aliquod Δ, et per id rectae $B\Theta$ parallela ducatur $E\Delta Z$. dico, esse $B\Gamma^2 : \Gamma A^2 = ZE \times E\Delta : AE^2$.

ducatur enim per Δ rectae AE parallela $\Delta\Xi$. iam quoniam hyperbola est AB et diametrus eius BN contingensque $B\Theta$ et rectae $B\Theta$ parallela ΔZ, erit [I, 48] $ZO = O\Delta$. et adiecta est $E\Delta$; itaque erit [Eucl. II, 6] $ZE \times E\Delta + \Delta O^2 = EO^2$. et quoniam $E\Lambda$, $\Delta\Xi$ parallelae sunt, trianguli $EO\Lambda$, $\Delta\Xi O$ similes sunt [Eucl. I, 29]; itaque $EO^2 : EO\Lambda = \Delta O^2 : \Xi\Delta O$ [Eucl. VI, 19; V, 16]; quare etiam reliquum

$$\Delta E \times EZ : \Delta\Lambda = EO^2 : EO\Lambda \text{ [Eucl. V, 19].}$$

est autem $OE^2 : OE\Lambda = B\Gamma^2 : B\Gamma\Lambda$ [Eucl. VI, 19;

ΒΓ πρὸς τὸ ΒΓΛ τρίγωνον· καὶ ὡς ἄρα τὸ ὑπὸ ΖΕΔ πρὸς τὸ ΔΛ τετράπλευρον, τὸ ἀπὸ ΒΓ πρὸς τὸ ΒΓΛ τρίγωνον. ἴσον δὲ τὸ ΔΛ τετράπλευρον τῷ ΑΕΗ τριγώνῳ, τὸ δὲ ΒΛΓ τῷ ΑΓΘ· ὡς ἄρα τὸ ὑπὸ ΖΕΔ πρὸς τὸ ΑΕΗ, τὸ ἀπὸ ΒΓ πρὸς τὸ ΑΓΘ. ἔστι δὲ καὶ ὡς τὸ ΑΕΗ πρὸς τὸ ἀπὸ ΕΑ, οὕτως τὸ ΑΓΘ πρὸς τὸ ἀπὸ ΑΓ· δι' ἴσου ἄρα ἐστίν, ὡς τὸ ἀπὸ ΒΓ πρὸς τὸ ἀπὸ ΓΑ, τὸ ὑπὸ ΖΕΔ πρὸς τὸ ἀπὸ ΕΑ.

ιθ'.

Ἐὰν τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσιν, ἀχθῶσι δὲ παράλληλοι ταῖς ἐφαπτομέναις ἀλλήλας τέμνουσαι καὶ τὴν τομήν, ἔσται, ὡς τὰ ἀπὸ τῶν ἐφαπτομένων τετράγωνα πρὸς ἄλληλα, οὕτως τὸ περιεχόμενον ὑπὸ τῶν μεταξὺ τῆς τομῆς καὶ τῆς συμπτώσεως τῶν εὐθειῶν πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν ὁμοίως λαμβανομένων εὐθειῶν.

ἔστωσαν ἀντικείμεναι, ὧν διάμετροι αἱ ΑΓ, ΒΔ, κέντρον δὲ τὸ Ε, καὶ ἐφαπτόμεναι αἱ ΑΖ, ΖΔ συμπιπτέτωσαν κατὰ τὸ Ζ, καὶ ἀπό τινων σημείων ἤχθωσαν παρὰ τὰς ΑΖΔ αἱ ΗΘΙΚΛ, ΜΝΞΟΛ. λέγω, ὅτι ἐστίν, ὡς τὸ ἀπὸ ΑΖ προς τὸ ἀπὸ ΖΔ, τὸ ὑπὸ ΗΛΙ πρὸς τὸ ὑπὸ ΜΛΞ.

ἤχθωσαν παρὰ τὰς ΑΖΔ διὰ τῶν Ξ, Ι αἱ ΙΠ, ΞΡ. καὶ ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ ΑΖ πρὸς τὸ ΑΖΣ τρίγωνον, τὸ ἀπὸ ΘΛ πρὸς τὸ ΘΛΟ καὶ τὸ ἀπὸ ΘΙ πρὸς τὸ ΘΙΠ, καὶ λοιπὸν ἄρα τὸ ὑπὸ ΗΛΙ πρὸς λοιπὸν τὸ ΙΠΟΛ τετράπλευρόν ἐστιν, ὡς τὸ ἀπὸ ΑΖ

---


3. *ΒΓΛ*] *ΒΓ* V; corr. p. 18. *αἱ*] bis V; corr. cvp. 21. *ΜΝΞΟΛ*] *ΜΝΞΟ* V; corr. p. 23. *ΗΛΙ*] *ΗΜ* V; corr. p. 24. *ΙΠ, ΞΡ*] *ΙΞ, ΠΡ* V; corr. p.

16]; quare etiam $ZE \times E\Delta : \Delta\Lambda = B\Gamma^2 : B\Gamma\Lambda$.
; autem $\Delta\Lambda = AEH$ [prop. VI], $B\Lambda\Gamma = A\Gamma\Theta$
rop. I]; itaque $ZE \times E\Delta : AEH = B\Gamma^2 : A\Gamma\Theta$.
; autem etiam $AEH : EA^2 = A\Gamma\Theta : A\Gamma^2$ [Eucl. VI, 19;
, 16]. ex aequo igitur [Eucl. V, 22]

$$B\Gamma^2 : \Gamma A^2 = ZE \times E\Delta : EA^2.$$

XIX.

Si duae rectae oppositas contingentes concurrunt, ducuntur rectae contingentibus parallelae inter se ctionemque secantes, erit, ut quadrata contingentium inter se, ita rectangulum comprehensum rectis inter sectionem punctumque concursus rectarum positis ad rectangulum comprehensum rectis eodem modo sumptis.



sint oppositae, quarum diametri sint $A\Gamma$, $B\Delta$, centrum autem E, et contingentes AZ, $Z\Delta$ concurrant in Z, et a punctis uibuslibet rectis AZ, $Z\Delta$ parallelae ducantur $H\Theta IK\Lambda$, $MN\Xi O\Lambda$. dico, esse

$$AZ^2 : Z\Delta^2 = H\Lambda \times \Lambda I : M\Lambda \times \Lambda\Xi.$$

per Ξ, I rectis AZ, $Z\Delta$ parallelae ducantur $I\Pi$, P. et quoniam est

$$Z^2 : AZ\Sigma = \Theta\Lambda^2 : \Theta\Lambda O = \Theta I^2 : \Theta I\Pi$$ [Eucl. VI, 19;
, 16], erit etiam reliquum [I, 48; Eucl. II, 6]

$$H\Lambda \times \Lambda I : I\Pi O\Lambda = AZ^2 : AZ\Sigma$$ [Eucl. V, 19].

πρὸς τὸ $AZ\Sigma$ τρίγωνον. ἴσον δὲ τὸ $AZ\Sigma$ τῷ ΔZT καὶ τὸ $\Pi O\Lambda I$ τῷ $KP\Xi\Lambda$· καὶ ὡς ἄρα τὸ ἀπὸ AZ πρὸς τὸ ΔTZ, τὸ ὑπὸ $H\Lambda I$ πρὸς τὸ $P\Xi\Lambda K$. ὡς δὲ τὸ ΔTZ πρὸς τὸ ἀπὸ $Z\Delta$, τὸ $P\Xi\Lambda K$ πρὸς τὸ ὑπὸ $M\Lambda\Xi$· καὶ δι' ἴσου ἄρα, ὡς τὸ ἀπὸ AZ πρὸς τὸ ἀπὸ $Z\Delta$, τὸ ὑπὸ $H\Lambda I$ πρὸς τὸ ὑπὸ $M\Lambda\Xi$.

κ'.

Ἐὰν τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, καὶ διὰ τῆς συμπτώσεως ἀχθῇ τις εὐθεῖα παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν συμπίπτουσα ἑκατέρᾳ τῶν τομῶν, ἀχθῇ δέ τις ἑτέρα εὐθεῖα παρὰ τὴν αὐτὴν τέμνουσα τάς τε τομὰς καὶ τὰς ἐφαπτομένας, ἔσται, ὡς τὸ περιεχόμενον ὑπὸ τῶν ἀπὸ τῆς συμπτώσεως ταῖς τομαῖς προσπιπτουσῶν εὐθειῶν πρὸς τὸ ἀπὸ τῆς ἐφαπτομένης τετράγωνον, τὸ περιεχόμενον ὑπὸ τῶν μεταξὺ τῶν τομῶν καὶ τῆς ἐφαπτομένης εὐθειῶν πρὸς τὸ ἀπὸ τῆς ἀπολαμβανομένης πρὸς τῇ ἁφῇ τετράγωνον.

ἔστωσαν ἀντικείμεναι αἱ AB, $\Gamma\Delta$, ὧν κέντρον τὸ E, ἐφαπτόμεναι δὲ αἱ AZ, ΓZ, καὶ ἐπεζεύχθω ἡ $A\Gamma$ καὶ αἱ EZ, AE καὶ ἐκβεβλήσθωσαν, καὶ ἤχθω διὰ τοῦ Z παρὰ τὴν $A\Gamma$ ἡ $BZ\Theta$, καὶ εἰλήφθω, ὃ ἔτυχε, σημεῖον τὸ K, καὶ δι' αὐτοῦ παρὰ τὴν $A\Gamma$ ἤχθω ἡ $K\Lambda\Sigma MN\Xi$. λέγω, ὅτι ἐστίν, ὡς τὸ ὑπὸ $BZ\Delta$ πρὸς τὸ ἀπὸ ZA, τὸ ὑπὸ $K\Lambda\Xi$ πρὸς τὸ ἀπὸ $A\Lambda$.

ἤχθωσαν γὰρ ἀπὸ τῶν K, B παρὰ τὴν AZ αἱ $K\Pi$, BP. ἐπεὶ οὖν ἐστιν, ὡς τὸ ἀπὸ BZ πρὸς τὸ

3. $H\Lambda I$] HM V; corr. Memus. 16. εὐθειῶν] εὐθείας V; corr. Comm. 24. $K\Lambda\Xi$] $\Lambda K\Xi$ V; corr. Memus (blx).

est autem $AZ\Sigma = \varDelta ZT$ [prop. IV] et [prop. VII] $\Pi O\varLambda I = KP\Xi\varLambda$; quare etiam


$$AZ^2 : \varDelta TZ = H\varLambda \times \varLambda I : P\Xi\varLambda K.$$

est autem $\varDelta TZ : Z\varDelta^2 = P\Xi\varLambda K : M\varLambda \times \varLambda\Xi$. ergo etiam ex aequo [Eucl. V, 22]

$$AZ^2 : Z\varDelta^2 = H\varLambda \times \varLambda I : M\varLambda \times \varLambda\Xi.$$

XX.

Si duae rectae oppositas contingentes concurrunt, et per punctum concursus recta ducitur rectae puncta contactus coniungenti parallela cum utraque sectione concurrens, et alia quoque recta eidem parallela ducitur et sectiones et contingentes secans, erit, ut rectangulum rectis a puncto concursus ad sectiones adcidentibus comprehensum ad quadratum contingentis, ita rectangulum comprehensum rectis inter sectiones contingentemque positis ad quadratum rectae ad punctum contactus abscisae.



sint oppositae AB, $\Gamma\varDelta$, quarum centrum sit E, contingentes autem AZ, ΓZ, ducaturque $A\Gamma$ et EZ, AE et producantur, per Z autem rectae $A\Gamma$ parallela ducatur $BZ\Theta$, et sumatur quoduis punctum K, et per id rectae $A\Gamma$ parallela ducatur $K\varLambda\Sigma MN\Xi$. dico, esse $BZ \times Z\varDelta : ZA^2 = K\varLambda \times \varLambda\Xi : A\varLambda^2$.

ducantur enim a K, B rectae AZ parallelae $K\Pi$, BP. iam quoniam est

In fig. pro K (Vp) posuerunt H Memus aliique.

ΒΖΡ τρίγωνον, τὸ ἀπὸ ΚΣ πρὸς τὸ ΚΣΠ καὶ τὸ ἀπὸ ΛΣ πρὸς τὸ ΛΣΖ, καὶ λοιπὸν τὸ ὑπὸ ΚΛΞ πρὸς τὸ ΚΛΖΠ τετράπλευρον, ἴσον δὲ τὸ μὲν ἀπὸ ΒΖ τῷ ὑπι ΒΖΔ, τὸ δὲ ΒΡΖ τρίγωνον τῷ ΑΖΘ, τὸ δὲ ΚΛΖΠ τετράπλευρον τῷ ΑΛΝ τριγώνῳ, ἔστιν ἄρα, ὡς τὸ ὑπὸ ΒΖΔ πρὸς τὶ ΑΖΘ τρίγωνον, τὸ ὑπὸ ΚΛΞ πρὸς τὸ ΑΛΝ. ὡς δὲ τὶ ΑΖΘ πρὸς τὸ ἀπὸ ΑΖ, τὸ ΑΛΝ πρὸς τὸ ἀπὸ ΑΛ· δι' ἴσου ἄρα, ὡς τὸ ὑπὸ ΒΖΔ πρὸς τὸ ἀπι ΖΑ, τὸ ὑπὸ ΚΛΞ πρὶς τὸ ἀπὸ ΑΛ.

κα'.

Τῶν αὐτῶν ὑποκειμένων ἐὰν ἐπὶ τῆς τομῆς δύο σημεῖα ληφθῇ, καὶ δι' αὐτῶν ἀχθῶσιν εὐθεῖαι ἡ μὲν παρὰ τὴν ἐφαπτομένην, ἡ δὲ παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν, τέμνουσαι ἀλλήλας τε καὶ τὰς τομάς, ἔσται, ὡς τὸ περιεχόμενον ὑπὸ τῶν ἀπὸ τῆς συμπτώσεως ταῖς τομαῖς προσπιπτουσῶν πρὸς τὸ ἀπὸ τῆς ἐφαπτομένης τετράγωνον, τὸ περιεχόμενον ὑπὸ τῶν μεταξὺ τῶν τομῶν καὶ τῆς συμπτώσεως πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν μεταξὺ τῆς τομῆς καὶ τῆς συμπτώσεως εὐθειῶν.

ἔστω γὰρ τὰ αὐτὰ τοῖς πρότερον, εἰλήφθω δὲ τὰ Η, Κ σημεῖα, καὶ δι' αὐτῶν ἤχθωσαν παρὰ μὲν τὴν ΑΖ αἱ ΝΞΗΟΠΡ, ΚΣΤ, παρὰ δὲ τὴν ΑΓ αἱ

---

1. ΚΣΠ] ἀπὸ ΚΣΠ V; corr. p. 2. ΛΣΖ] ΛΕΖ V; corr. p (ΛΖΣ). ΚΛΞ] ΛΚΞ corr. ex ΛΚΖ m. 1 V; corr. Memus (hlx). 3. Ante ἴσον add. ἔσται ὡς τὸ ἀπὸ ΒΖ πρὸς τὸ ΒΖΡ Halley cum Command.; lacunam p. 6. ὑπὸ ΒΖΔ] ἀπὸ ΒΖ V; corr. Memus. τό] (alt.) om. V; corr. p. 7. ΚΛΞ] ΛΚΞ V; corr. Memus (hlx). ΑΛΝ] ΑΛΜ V; corr. p. 10. ΚΛΞ] ΛΚΞ V; corr. Memus (hlx). 19. πρός — 20. συμπτώσεως] om. V; corr. Comm.

$$BZ^2 : BZP = K\Sigma^2 : K\Sigma\Pi$$
$$= \Lambda\Sigma^2 : \Lambda\Sigma Z \text{ [Eucl. VI, 19; V, 16]}$$
$$= K\Lambda \times \Lambda\Xi \text{ [Eucl. II, 5]} : K\Lambda Z\Pi \text{ [Eucl. V, 19]},$$

et $BZ^2 = BZ \times Z\Delta$ [II, 39, 38], $BPZ = AZ\Theta$ [prop. XI], $K\Lambda Z\Pi = A\Lambda N$ [prop. V], erit


$$BZ \times Z\Delta : AZ\Theta = K\Lambda \times \Lambda\Xi : A\Lambda N.$$

est autem $AZ\Theta : AZ^2 = A\Lambda N : A\Lambda^2$ [Eucl. VI, 19; V, 16]; ergo ex aequo [Eucl. V, 22]

$$BZ \times Z\Delta : ZA^2 = K\Lambda \times \Lambda\Xi : A\Lambda^2.$$

XXI.

Iisdem suppositis si in sectione duo puncta sumuntur, et per ea rectae ducuntur, altera contingenti parallela, altera rectae puncta contactus coniungenti parallela, secantes et inter se et sectiones, erit, ut rectangulum comprehensum rectis a puncto concursus ad sectiones adcidentibus ad quadratum contingentis, ita rectangulum comprehensum rectis inter sectiones punctumque concursus positis ad rectangulum comprehensum rectis inter sectionem punctumque concursus positis.



sint enim eadem, quae antea, et sumantur H, K puncta, per eaque rectae AZ parallelae ducantur

ΗΛΜ, ΚΟΦΙΧΨΩ. λέγω, ὅτι ἐστίν, ὡς τὸ ὑπὸ *ΒΖΔ* πρὸς τὸ ἀπὸ *ΖΑ*, οὕτως τὸ ὑπὸ *ΚΟΩ* πρὸς τὸ ὑπὸ *ΝΟΗ*.

ἐπεὶ γάρ ἐστιν, ὡς τὸ ἀπὸ *ΑΖ* πρὸς τὸ *ΑΖΘ* τρίγωνον, τὸ ἀπὸ *ΛΛ* πρὸς τὸ *ΛΛΜ* καὶ τὸ ἀπὸ *ΞΟ* πρὸς τὸ *ΞΟΨ* καὶ τὸ ἀπὸ *ΞΗ* πρὸς τὸ *ΞΗΜ*, ὡς ἄρα ὅλον τὸ ἀπὸ *ΞΟ* πρὸς ὅλον τὸ *ΞΟΨ*, οὕτως ἀφαιρεθὲν τὸ ἀπὸ *ΞΗ* πρὸς ἀφαιρεθὲν τὸ *ΞΗΜ*. καὶ λοιπὸν ἄρα τὸ ὑπὸ *ΝΟΗ* πρὸς λοιπὸν τὸ *ΗΟΨΜ* τετράπλευρόν ἐστιν, ὡς τὸ ἀπὸ *ΑΖ* πρὸς τὸ *ΑΖΘ*. ἴσον δὲ τὸ μὲν *ΑΖΘ* τῷ *ΒΥΖ*, τὸ δὲ *ΗΟΨΜ* τῷ *ΚΟΡΤ*· ὡς ἄρα τὸ ἀπὸ *ΑΖ* πρὸς τὸ *ΒΖΥ*, τὸ ὑπὸ *ΝΟΗ* πρὸς τὸ *ΚΟΡΤ*. ὡς δὲ τὸ *ΒΥΖ* τρίγωνον πρὸς τὸ ἀπὸ *ΒΖ*, τουτέστι τὸ ὑπὸ *ΒΖΔ*, οὕτως ἐδείχθη τὸ *ΚΟΡΤ* πρὸς τὸ ὑπὸ *ΚΟΩ*· δι' ἴσου ἄρα, ὡς τὸ ἀπὸ *ΑΖ* πρὸς τὸ ὑπὸ *ΒΖΔ*, τὸ ὑπὸ *ΝΟΗ* πρὸς τὸ ὑπὸ *ΚΟΩ*. καὶ ἀνάπαλιν, ὡς τὸ ὑπὸ *ΒΖΔ* πρὸς τὸ ἀπὸ *ΖΑ*, τὸ ὑπὸ *ΚΟΩ* πρὸς τὸ ὑπὸ *ΝΟΗ*.

κβ'.

Ἐὰν τῶν ἀντικειμένων δύο εὐθεῖαι παράλληλοι ἐπιψαύωσιν, ἀχθῶσι δέ τινες εὐθεῖαι τέμνουσαι ἀλλήλας καὶ τὰς τομάς, ἡ μὲν παρὰ τὴν ἐφαπτομένην, ἡ δὲ παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν, ἔσται, ὡς ἡ τοῦ πρὸς τῇ τὰς ἁφὰς ἐπιζευγνυούσῃ εἴδους πλαγία πλευρὰ πρὸς τὴν ὀρθίαν, τὸ περιεχόμενον ὑπὸ τῶν μεταξὺ τῶν τομῶν καὶ τῆς συμπτώσεως πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν μεταξὺ τῆς τομῆς καὶ τῆς συμπτώσεως.

7. τό] (alt.) pcv, e corr. m. 1 V. 12. *ΚΟΡΠ* V; corr. Memus. 14. *ΚΟΡΤ*] pc, *Τ* corr. ex *Π* m. 1 V. 17. *ΚΟΩ*] c, corr. ex *ΚΟ*, *ΟΩ* m. 1 V. 24. ἡ] p, om. V. 25. πλευρᾶι V; corr. p. 26. τῶν τομῶν — 27. μεταξύ] om. V; corr. Paris. 2355 mg.

$N\Xi HO\Pi P$, $K\Sigma T$, rectae autem $\Lambda\Gamma$ parallelae $H\Lambda M$, $KO\Phi IX\Psi\Omega$[1]). dico, esse

$$BZ \times Z\Delta : Z\Lambda^2 = KO \times O\Omega : NO \times OH.$$

quoniam enim est

$$\Lambda Z^2 : \Lambda Z\Theta = \Lambda\Lambda^2 : \Lambda\Lambda M$$

$= \Xi O^2 : \Xi O\Psi = \Xi H^2 : \Xi HM$ [Eucl. VI, 19; V, 16], erit, ut totum ΞO^2 ad totum $\Xi O\Psi$, ita ablatum ΞH^2 ad ablatum ΞHM. itaque etiam reliquum [I, 47; Eucl. II, 6] $NO \times OH : HO\Psi M = \Lambda Z^2 : \Lambda Z\Theta$ [Eucl. V, 19]. est autem $\Lambda Z\Theta = B\Upsilon Z$ [prop. XI], $HO\Psi M = KOPT$ [prop. XII]; itaque

$$\Lambda Z^2 : BZ\Upsilon = NO \times OH : KOPT.$$

demonstrauimus autem, esse

$$B\Upsilon Z : BZ^2 = KOPT : KO \times O\Omega \text{ [prop. XX]}$$
$$= \text{[I, 39, 38] } B\Upsilon Z : BZ \times Z\Delta;$$

itaque ex aequo [Eucl. V, 22]

$$\Lambda Z^2 : BZ \times Z\Delta = NO \times OH : KO \times O\Omega.$$

et e contrario [Eucl. V, 7 coroll.]

$$BZ \times Z\Delta : Z\Lambda^2 = KO \times O\Omega : NO \times OH.$$

XXII.

Si sectiones oppositas duae rectae parallelae contingunt, et ducuntur rectae quaedam secantes et inter se et sectiones, altera contingenti parallela, altera rectae puncta contactus coniungenti parallela, erit, ut latus transuersum figurae rectae puncta contactus coniungenti adplicatae ad rectum, ita rectangulum comprehensum rectis inter sectiones punctumque con-

---

1) In figura codicis V punctum Ψ intra sectionem $\Gamma\Delta$ cadit, ita ut haec recta dicenda esset $KO\Phi IX\Omega\Psi$. adiecta sunt sex rectangula.

ἔστωσαν ἀντικείμεναι αἱ A, B, ἐφαπτόμεναι δὲ αὐτῶν αἱ $A\Gamma$, $B\Delta$ παράλληλοι ἔστωσαν, καὶ ἐπεζεύχθω ἡ AB. διήχθωσαν δὴ ἡ μὲν $E\Xi H$ παρὰ τὴν AB, ἡ δὲ $KE\Lambda M$ παρὰ τὴν $A\Gamma$. λέγω, ὅτι ἐστίν, ὡς ἡ AB πρὸς τὴν ὀρθίαν τοῦ εἴδους πλευράν, το ὑπὸ $HE\Xi$ πρὸς τὸ ὑπὸ KEM.

ἤχθωσαν διὰ τῶν H, Ξ παρὰ τὴν $A\Gamma$ αἱ ΞN, HZ.


ἐπεὶ γὰρ αἱ $A\Gamma$, $B\Delta$ ἐφαπτόμεναι τῶν τομῶν παράλληλοί εἰσι, διάμετρος μὲν ἡ AB, τεταγμένως δὲ ἐπ' αὐτὴν κατηγμέναι αἱ $K\Lambda$, ΞN, HZ· ἔσται οὖν, ὡς ἡ AB πρὸς τὴν ὀρθίαν πλευράν, τό τε ὑπὸ $B\Lambda A$ πρὸς τὸ ἀπὸ ΛK καὶ τὸ ὑπὸ BNA πρὸς τὸ ἀπὸ $N\Xi$, τουτέστι τὸ ἀπὸ ΛE. ἔστιν ἄρα, ὡς ὅλον τὸ ὑπὸ $B\Lambda A$ πρὸς ὅλον τὸ ἀπὸ $K\Lambda$, οὕτως ἀφαιρεθὲν τὸ ὑπὸ BNA, τουτέστι τὸ ὑπὸ $Z\Lambda N$· ἴση γὰρ ἡ NA τῇ BZ· πρὸς ἀφαιρεθὲν τὸ ἀπὸ ΛE· καὶ λοιπὸν ἄρα τὸ ὑπὸ $Z\Lambda N$ πρὸς λοιπὸν τὸ ὑπὸ KEM ἐστιν, ὡς ἡ AB πρὸς τὴν ὀρθίαν. ἴσον δὲ τὸ ὑπὸ $Z\Lambda N$ τῷ ὑπὸ $HE\Xi$· ὡς ἄρα ἡ AB τοῦ εἴδους πλαγία πλευρὰ πρὸς τὴν ὀρθίαν, τὸ ὑπὸ $HE\Xi$ πρὸς τὸ ὑπὸ KEM.

κγ'.

Ἐὰν ἐν ταῖς κατα συζυγίαν ἀντικειμέναις δύο εὐθεῖαι τῶν κατ' ἐναντίον τομῶν ἐπιψαύουσαι συμπίπτωσιν ἐπὶ μιᾶς, ἧς ἔτυχον, τομῆς, ἀχθῶσι δέ τινες παρὰ τὰς ἐφαπτομένας τέμνουσαι ἀλλήλας καὶ τὰς ἑτέρας ἀντικειμένας, ἔσται, ὡς τὰ ἀπὸ τῶν ἐφαπτομένων

3. δή] δέ Halley. 4. $EK\Lambda M$ V, corr. p. 8. γάρ] οὖν? 24. συμπίπτουσιν v, V (ου corr. in ω?); corr. pc.

cursus positis ad rectangulum comprehensum rectis inter sectionem punctumque concursus positis.



sint oppositae A, B, easque contingentes $A\Gamma, B\varDelta$ parallelae sint, et ducatur AB. ducantur igitur rectae AB parallela $E\Xi H$, rectae $A\Gamma$ autem parallela $KE\varLambda M$. dico, esse, ut AB ad latus rectum figurae, ita $HE \times E\Xi : KE \times EM$.

per H, Ξ rectae $A\Gamma$ parallelae ducantur ΞN, HZ. iam quoniam $A\Gamma$, $B\varDelta$ sectiones contingentes parallelae sunt, diametrus est AB et ad eam ordinate ductae $K\varLambda$, ΞN, HZ [II, 31]; erit igitur [I, 21] AB: latus rectum

$$= B\varLambda \times \varLambda A : \varLambda K^2 = BN \times NA : N\Xi^2$$
$$= BN \times NA : \varLambda E^2 \text{ [Eucl. I, 34].}$$

est igitur, ut totum $B\varLambda \times \varLambda A$ ad totum $\varLambda K^2$, ita ablatum $BN \times NA$, hoc est $Z\varLambda \times \varLambda N$ (nam $NA = BZ$ [I, 21]), ad ablatum $\varLambda E^2$; quare etiam reliquum [u. Pappi lemma IV] $Z\varLambda \times \varLambda N$ ad reliquum [I, 47; Eucl. II, 5] $KE \times EM$ est, ut AB ad latus rectum. est autem $Z\varLambda \times \varLambda N = HE \times E\Xi$ [Eucl. I, 34]; ergo ut AB latus figurae transuersum ad rectum, ita $HE \times E\Xi : KE \times EM$.

XXIII.

Si in oppositis coniugatis duae rectae sectiones inter se oppositas contingentes in quauis sectionum concurrunt, et contingentibus parallelae rectae du-

τετράγωνα πρὸς ἄλληλα, τὸ περιεχόμενον ὑπὸ τῶν μεταξὺ τῶν τομῶν καὶ τῆς συμπτώσεως εὐθειῶν πρὸς τὸ περιεχόμενον ὑπὸ τῶν ὁμοίως λαμβανομένων εὐθειῶν.

ἔστωσαν κατὰ συζυγίαν ἀντικείμεναι αἱ ΑΒ, ΓΔ, ΕΖ, ΗΘ, κέντρον δὲ αὐτῶν τὸ Κ, καὶ τῶν ΑΒ, ΕΖ τομῶν ἐφαπτόμεναι αἱ ΑΦΓΛ, ΕΧΔΛ συμπιπτέτωσαν κατὰ τὸ Λ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΚ, ΕΚ καὶ ἐκβεβλήσθωσαν ἐπὶ τὰ Β, Ζ, καὶ ἀπὸ τοῦ Η παρὰ τὴν ΑΛ ἤχθω ἡ ΗΜΝΞΟ, ἀπὸ δὲ τοῦ Θ παρὰ τὴν ΕΛ ἡ ΘΠΡΞΣ. λέγω, ὅτι ἐστίν, ὡς τὸ ἀπὸ ΕΛ πρὸς τὸ ἀπὸ ΛΑ, τὸ ὑπο ΘΞΣ πρὸς τὸ ὑπὸ ΗΞΟ.

ἤχθω γὰρ διὰ τοῦ Σ παρὰ μὲν τὴν ΑΛ ἡ ΣΤ, παρὰ δὲ τὴν ΕΛ ἀπὸ τοῦ Ο ἡ ΟΥ. ἐπεὶ οὖν συζυγῶν ἀντικειμένων τῶν ΑΒ, ΓΔ, ΕΖ, ΗΘ διάμετρός ἐστιν ἡ ΒΕ, καὶ ἐφάπτεται τῆς τομῆς ἡ ΕΛ, καὶ παρ' αὐτὴν ἦκται ἡ ΘΣ, ἴση ἐστὶν ἡ ΘΠ τῇ ΠΣ, καὶ διὰ τὰ αὐτὰ ἡ ΗΜ τῇ ΜΟ. καὶ ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ ΕΛ πρὸς τὸ ΕΦΛ τρίγωνον, τὸ ἀπὸ ΠΣ πρὸς τὸ ΠΤΣ καὶ το ἀπὸ ΠΞ πρὸς τὸ ΠΝΞ, καὶ λοιπὸν τὸ ὑπὸ ΘΞΣ πρὸς τὸ ΤΝΞΣ τετράπλευρόν ἐστιν, ὡς τὸ ἀπὸ ΕΛ πρὸς τὸ ΦΛΕ τρίγωνον. ἴσον δὲ τὸ μὲν ΕΦΛ τρίγωνον τῷ ΑΛΧ, τὸ δὲ ΤΝΞΣ τετράπλευρον τῷ ΞΡΥΟ· ἔστιν ἄρα, ὡς τὸ ἀπὸ ΕΛ πρὸς τὸ ΑΛΧ, τὸ ὑπὸ ΘΞΣ πρὸς τὸ ΞΟΥΡ τετράπλευρον. ἔστι δέ, ὡς τὸ ΑΧΛ τρίγωνον πρὸς τὸ ἀπὸ ΑΛ, τὸ ΞΡΥΟ πρὸς τὸ ὑπὸ ΗΞΟ· δι' ἴσου

---


10. *ΜΝΞΟ* V; corr. p. 11. *ΕΛ*] pcv, corr. ex *ΕΘ* m. 1 V. 15. *Ο ἡ ΟΥ*] $\overline{\text{οη}}$ $\overline{\text{ου}}$ V; corr. 2355 mg. 22. *ΘΞΣ*] *ΘΣΞ* corr. ex *ΘΓΞ* m. 1 V; corr. Memus.

cuntur secantes et inter se et sectiones oppositas alteras, erit, ut quadrata contingentium inter se, ita rectangulum comprehensum rectis inter sectiones punctumque concursus positis ad rectangulum comprehensum rectis eodem modo sumptis.

sint oppositae coniugatae AB, $\Gamma\Delta$, EZ, $H\Theta$, centrum autem earum K, et $A\Phi\Gamma\Lambda$, $EX\Delta\Lambda$ sectiones AB, EZ contingentes in Λ concurrant, ducanturque AK, EK et producantur ad B, Z, ab H autem rectae $A\Lambda$ parallela ducatur $HMN\Xi O$ et a Θ rectae $E\Lambda$ parallela $\Theta\Pi P\Xi\Sigma$. dico, esse

$$E\Lambda^2 : A\Lambda^2 = \Theta\Xi \times \Xi\Sigma : H\Xi \times \Xi O.$$

per Σ enim ducatur ΣT rectae $A\Lambda$ parallela, ab O autem $O\Upsilon$ rectae $E\Lambda$ parallela. iam quoniam oppositarum coniugatarum AB, $\Gamma\Delta$, EZ, $H\Theta$ diametrus est BE, et $E\Lambda$ sectionem contingit, eique parallela ducta est $\Theta\Sigma$, erit [II, 20; I def. 5] $\Theta\Pi = \Pi\Sigma$ et eadem de causa $HM = MO$. et quoniam est



$$E\Lambda^2 : E\Phi\Lambda = \Pi\Sigma^2 : \Pi T\Sigma = \Pi\Xi^2 : \Pi N\Xi$$

[Eucl. VI, 19; V, 16], erit etiam reliquum [Eucl. II, 5] $\Theta\Xi \times \Xi\Sigma : TN\Xi\Sigma = E\Lambda^2 : \Phi\Lambda E$ [Eucl. V, 19]. est autem [prop. IV] $E\Phi\Lambda = A\Lambda X$ et[1])

$$TN\Xi\Sigma = \Xi P\Upsilon O;$$

itaque $E\Lambda^2 : A\Lambda X = \Theta\Xi \times \Xi\Sigma : \Xi O\Upsilon P$. est autem

1) Ex prop. XV, quae tum quoque ualet, cum rectae contingentes suam quaeque sectionum oppositarum contingunt.

ἄρα, ὡς τὸ ἀπὸ ΕΛ πρὸς τὸ ἀπὸ ΑΛ, τὸ ὑπὸ ΘΞΣ προς το ὑπὸ ΗΞΟ.

κδ'.

Ἐὰν ἐν ταῖς κατὰ συζυγίαν ἀντικειμέναις ἀπὸ τοῦ κέντρου διαχθῶσι πρὸς τὰς τομὰς δύο εὐθεῖαι, καὶ λέγηται αὐτῶν ἡ μὲν πλαγία διάμετρος, ἡ δὲ ὀρθία, ἀχθῶσι δέ τινες παρὰ τὰς δύο διαμέτρους συμπίπτουσαι ἀλλήλαις καὶ ταῖς τομαῖς, ἡ δὲ σύμπτωσις ᾖ τῶν εὐθειῶν ἐν τῷ μεταξὺ τόπῳ τῶν τεσσάρων τομῶν, τὸ περιεχόμενον ὑπὸ τῶν τμημάτων τῆς παραλλήλου τῇ πλαγίᾳ μετὰ τοῦ πρὸς ὃ λόγον ἔχει τὸ ὑπὸ τῶν τμημάτων τῆς παραλλήλου τῇ ὀρθίᾳ, ὃν το ἀπὸ τῆς ὀρθίας πρὸς τὸ ἀπὸ τῆς πλαγίας τετράγωνον, ἴσον ἔσται τῷ δὶς ἀπὸ τῆς ἡμισείας τῆς πλαγίας τετραγώνῳ.

ἔστωσαν κατα συζυγίαν ἀντικείμεναι αἱ Α, Β, Γ, Δ, ὧν κέντρον το Ε, καὶ ἀπὸ τοῦ Ε διήχθωσαν ἥ τε ΑΕΓ πλαγία καὶ ἡ ΔΕΒ ὀρθία, καὶ παρὰ τὰς ΑΓ, ΔΒ ἤχθωσαν αἱ ΖΗΘΙΚΛ, ΜΝΞΟΠΡ συμπίπτουσαι ἀλλήλαις κατὰ τὸ Ξ· ἔστω δὲ πρότερον τὸ Ξ ἐντὸς τῆς ὑπὸ ΣΕΦ γωνίας ἢ τῆς ὑπὸ ΤΕΤ. λέγω, ὅτι τὸ ὑπὸ ΖΞΛ μετὰ τοῦ πρὸς ὃ λόγον ἔχει τὸ ὑπὸ ΜΞΡ, ὃν τὸ ἀπὸ ΔΒ πρὸς τὸ ἀπὸ ΑΓ, ἴσον ἐστὶ τῷ δὶς ἀπὸ ΑΕ.

ἤχθωσαν γὰρ ἀσύμπτωτοι τῶν τομῶν αἱ ΣΕΤ, ΤΕΦ, καὶ διὰ τοῦ Α ἐφαπτομένη τῆς τομῆς ἡ ΣΗΑΦ. ἐπεὶ οὖν τὸ ὑπὸ ΣΑΦ ἴσον ἐστὶ τῷ ἀπὸ ΔΕ, ἔστιν ἄρα, ὡς τὸ ὑπὸ ΣΑΦ πρὸς τὸ ἀπὸ ΕΑ, οὕτως τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ. τὸ δὲ ὑπὸ

1. τὸ ὑπό] τοῦ V; corr. p. 9. ἐν] cv, euan. V. 11. ὃ λόγον] ὅλον V; corr. p. 26. ΣΗΑΦ] ΑΗΣΦ V; corr. p (ΦΑΗΣ).


[eodem modo] $AX\Lambda : A\Lambda^2 = \Xi P\Upsilon O : H\Xi \times \Xi O$. ergo ex aequo [Eucl. V, 22]

$$E\Lambda^2 : A\Lambda^2 = \Theta\Xi \times \Xi\Sigma : H\Xi \times \Xi O.$$

XXIV.

Si in oppositis coniugatis a centro ad sectiones duae rectae ducuntur, et altera earum diametrus transuersa, altera recta sumitur, duabus autem diametris illis parallelae rectae quaedam ducuntur et inter se et cum sectionibus concurrentes, et punctum concursus in spatio inter quattuor sectiones posito est, rectangulum comprehensum partibus rectae diametro transuersae parallelae cum spatio, ad quod rectangulum comprehensum partibus rectae diametro rectae parallelae rationem habet, quam quadratum diametri rectae ad quadratum transuersae, aequale erit duplo quadrato dimidiae diametri transuersae.

sint A, B, Γ, Δ oppositae coniugatae, quarum centrum sit E, et ab E ducatur $AE\Gamma$ diametrus transuersa et ΔEB recta, rectisque $A\Gamma$, ΔB parallelae ducantur $ZH\Theta IK\Lambda$, $MN\Xi O\Pi P$ in Ξ inter se concurrentes; Ξ autem prius intra angulum $\Sigma E\Phi$ uel ΥET positum sit. dico, $Z\Xi \times \Xi\Lambda$ cum spatio, ad quod $M\Xi \times \Xi P$ rationem habet, quam $\Delta B^2 : A\Gamma^2$, aequale esse spatio $2AE^2$.



ducantur enim ΣET, $\Upsilon E\Phi$ asymptotae sectionum, et

In hac propositione duas tantum figuras habet V.

ΣΑΦ πρὸς τὸ ἀπὸ ΑΕ λόγον ἔχει τὸν συγκείμενον ἔκ τε τοῦ τῆς ΣΑ πρὸς ΑΕ καὶ τοῦ τῆς ΦΑ πρὸς ΑΕ. ἀλλ' ὡς μὲν ἡ ΣΑ πρὸς ΑΕ, ἡ ΝΞ πρὸς ΞΘ, ὡς δὲ ἡ ΦΑ πρὸς ΑΕ, ἡ ΠΞ πρὸς ΞΚ· ὁ ἄρα τοῦ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΑΕ λόγος σύγκειται ἔκ τε τοῦ τῆς ΝΞ πρὸς ΞΘ καὶ τοῦ τῆς ΠΞ πρὸς ΞΚ. σύγκειται δὲ ἐκ τῶν αὐτῶν ὁ τοῦ ὑπὸ ΠΞΝ πρὸς τὸ ὑπὸ ΚΞΘ· ὡς ἄρα τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΑΕ, τὸ ὑπὸ ΠΞΝ πρὸς τὸ ὑπὸ ΚΞΘ. καὶ ὡς ἄρα τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΑΕ, τὸ ἀπὸ ΔΕ μετὰ τοῦ ὑπὸ ΠΞΝ πρὸς τὸ ἀπὸ ΑΕ μετὰ τοῦ ὑπὸ ΚΞΘ. ἴσον δὲ τὸ μὲν ἀπὸ ΔΕ τῷ ὑπὸ ΠΜΝ, τουτέστι τῷ ὑπὸ ΡΝΜ, τὸ δὲ ἀπὸ ΑΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΚΖΘ, τουτέστι τῷ ὑπὸ ΛΘΖ· ὡς ἄρα τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ, τὸ ὑπὸ ΠΞΝ μετὰ τοῦ ὑπὸ ΡΝΜ πρὸς τὸ ὑπὸ ΚΞΘ μετὰ τοῦ ὑπὸ ΛΘΖ. ἴσον δὲ τὸ ὑπὸ ΠΞΝ μετὰ τοῦ ὑπὸ ΡΝΜ τῷ ὑπὸ ΡΞΜ· ὡς ἄρα τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ, τὸ ὑπὸ ΡΞΜ πρὸς τὸ ὑπὸ ΚΞΘ μετὰ τοῦ ὑπὸ ΚΖΘ. δεικτέον οὖν, ὅτι τὸ ὑπὸ ΖΞΛ μετὰ τοῦ ὑπὸ ΚΞΘ καὶ τοῦ ὑπὸ ΚΖΘ ἴσον ἐστὶ τῷ δὶς ἀπὸ ΕΑ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ ΑΕ, τουτέστι τὸ ὑπὸ ΚΖΘ· λοιπὸν ἄρα δεικτέον, ὅτι τὸ ὑπὸ ΚΞΘ μετὰ τοῦ ὑπὸ ΛΞΖ ἴσον ἐστὶ τῷ ἀπὸ ΑΕ. ἔστι δέ· τὸ γὰρ ὑπὸ ΚΞΘ μετὰ τοῦ ὑπὸ ΛΞΖ ἴσον ἐστὶ τῷ ὑπὸ ΛΘΖ, τουτέστι τῷ ὑπὸ ΚΖΘ, τουτέστι τῷ ἀπὸ ΑΕ.

συμπιπτέτωσαν δὴ αἱ ΖΛ, ΜΡ ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων κατὰ τὸ Θ. ἴσον δή ἐστι τὸ ὑπὸ ΖΘΛ τῷ ἀπὸ ΑΕ καὶ τὸ ὑπὸ ΜΘΡ τῷ ἀπὸ ΔΕ· ἔστιν

---

13. ΛΘΖ] ΛΘΞ V; corr. Memus. 16. ΛΘΖ] ΛΘΞ V; corr. Memus. 17. ΡΝΜ] ΡΜΝ V; corr. p (τῶν ΡΝ, ΝΜ). 25. ΛΘΖ] ΛΖΘ V; corr. Memus.

per $\varDelta$ sectionem contingens $\Sigma H \varDelta \Phi$. iam quoniam est $\Sigma \varDelta \times \varDelta \Phi = \varDelta E^2$ [I, 56; II, 1], erit [Eucl. V, 7] $\Sigma \varDelta \times \varDelta \Phi : E \varDelta^2 = \varDelta E^2 : E \varDelta^2$. est autem

$$\Sigma \varDelta \times \varDelta \Phi : \varDelta E^2 = (\Sigma \varDelta : \varDelta E) \times (\Phi \varDelta : \varDelta E).$$

uerum $\Sigma \varDelta : \varDelta E = N\Xi : \Xi\Theta$, $\Phi \varDelta : \varDelta E = \Pi\Xi : \Xi K$ [Eucl. VI, 4]; itaque

$$\varDelta E^2 : \varDelta E^2 = (N\Xi : \Xi\Theta) \times (\Pi\Xi : \Xi K)$$
$$= \Pi\Xi \times \Xi N : K\Xi \times \Xi\Theta$$
$$= \varDelta E^2 + \Pi\Xi \times \Xi N : \varDelta E^2 + K\Xi \times \Xi\Theta \text{ [Eucl. V, 12]}.$$

est autem $\varDelta E^2 = \Pi M \times MN$ [II, 11] $= PN \times NM$ [II, 16], et [eodem modo]

$$\varDelta E^2 = KZ \times Z\Theta = \varLambda\Theta \times \Theta Z;$$

erit igitur

$$\varDelta E^2 : E\varDelta^2$$
$$= \Pi\Xi \times \Xi N + PN \times NM : K\Xi \times \Xi\Theta + \varLambda\Theta \times \Theta Z.$$

est autem $\Pi\Xi \times \Xi N + PN \times NM = P\Xi \times \Xi M$ [u. Pappi lemma V, 2]; itaque

$$\varDelta E^2 : E\varDelta^2 = P\Xi \times \Xi M : K\Xi \times \Xi\Theta + KZ \times Z\Theta.$$

demonstrandum igitur, esse

$$Z\Xi \times \Xi\varLambda + K\Xi \times \Xi\Theta + KZ \times Z\Theta = 2E\varDelta^2.$$

auferatur, quod commune est, $\varDelta E^2 = KZ \times Z\Theta$. itaque reliquum est, ut demonstremus, esse

$$K\Xi \times \Xi\Theta + \varLambda\Xi \times \Xi Z = \varDelta E^2.$$

et est; nam

$$K\Xi \times \Xi\Theta + \varLambda\Xi \times \Xi Z = \varLambda\Theta \times \Theta Z$$
$$= KZ \times Z\Theta \text{ [u. Pappi lemma V, 1]} = \varDelta E^2.$$

iam uero $Z\varLambda$, MP in altera asymptotarum concurrant in Θ. itaque $Z\Theta \times \Theta\varLambda = \varDelta E^2$ et

$$M\Theta \times \Theta P = \varDelta E^2 \text{ [II, 11, 16]};$$

itaque $\varDelta E^2 : E\varDelta^2 = M\Theta \times \Theta P : Z\Theta \times \Theta\varLambda$. uolumus igitur, esse $2 Z\Theta \times \Theta\varLambda = 2\varDelta E^2$. et est.

ἄρα, ὡς το ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ, τὸ ὑπὸ ΜΘΡ πρὸς τὶ ὑπὸ ΖΘΛ. ὥστε τὸ δὶς ὑπὸ ΖΘΛ ἴσον ζητοῦμεν τῷ δὶς ἀπὸ ΑΕ. ἔστι δέ.

ἔστω δὲ τὸ Ξ ἐντὸς τῆς ὑπὸ ΣΕΚ γωνίας ἢ τῆς ὑπὸ ΦΕΤ. ἔσται δὴ ὁμοίως διὰ τὴν συναφὴν τῶν λόγων, ὡς τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ, τὸ ὑπὸ ΠΞΝ πρὸς τὸ ὑπὸ ΚΞΘ. τῷ δὲ ἀπὸ ΔΕ ἴσον ἐστὶ τὸ ὑπὸ ΠΜΝ, τουτέστι τὸ ὑπὸ ΡΝΜ, τῷ δὲ ἀπο ΑΕ ἴσον ἐστὶ τὸ ὑπὸ ΛΘΖ· ἔστιν ἄρα, ὡς τὸ ὑπὸ ΡΝΜ πρὸς τὸ ὑπὸ ΛΘΖ, οὕτως ἀφαιρεθὲν τὸ ὑπὸ ΠΞΝ πρὸς ἀφαιρεθὲν τὸ ὑπὸ ΚΞΘ. καὶ λοιπὸν ἄρα τὸ ὑπὸ ΡΞΜ πρὸς λοιπὴν την ὑπεροχήν, ᾗ ὑπερέχει τὸ ἀπὸ ΑΕ τοῦ ὑπὸ ΚΞΘ. δεικτέον ἄρα, ὅτι τὸ ὑπὸ ΖΞΛ προσλαβὸν τὴν ὑπεροχήν, ᾗ ὑπερέχει τὸ ἀπὸ ΑΕ τοῦ ὑπὸ ΚΞΘ, ἴσον ἐστὶ τῷ δὶς ἀπὸ ΑΕ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ ΑΕ, τουτέστι τὸ ὑπὸ ΖΘΛ· λοιπὸν ἄρα δεικτέον, ὅτι τὸ ὑπὸ ΚΞΘ μετα τῆς ὑπεροχῆς, ᾗ ὑπερέχει τὸ ἀπὸ ΑΕ τοῦ ὑπὸ ΚΞΘ, ἴσον ἐστὶ τῷ ἀπὸ ΑΕ. ἔστι δέ· τὸ γὰρ ἔλασσον το ὑπὸ ΚΞΘ προσλαβον τὴν ὑπεροχὴν ἴσον ἐστὶ τῷ μείζονι τῷ ἀπὸ ΑΕ.

κε'.


Τῶν αὐτῶν ὑποκειμένων ἔστω ἡ σύμπτωσις τῶν παραλλήλων ταῖς ΑΓ, ΒΔ ἐντὸς μιᾶς τῶν Δ, Β τομῶν, ὡς ὑπόκειται, κατὰ τὸ Ξ.

λέγω, ὅτι τὸ περιεχόμενον ὑπὸ τῶν τμημάτων τῆς παραλλήλου τῇ πλαγίᾳ, τουτέστι τὸ ὑπὸ ΟΞΝ, τοῦ πρὸς ὃ λόγον ἔχει τὸ περιεχόμενον ὑπὸ τῶν τμημά-

---

8. τό] (pr.) τῷ V; corr. p. 9. τό] (pr.) c, τῷ Vp. 10. ΛΘΖ] ΘΛΖ V; corr. Memus. 13. Post ΚΞΘ add. ἐστιν ὡς

iam uero Ξ intra angulum $\Sigma E K$ uel $\Phi E T$ positum sit. itaque eodem modo propter compositionem rationum erit $\Delta E^2 : E A^2 = \Pi\Xi \times \Xi N : K\Xi \times \Xi\Theta$.



est autem $\Pi M \times MN = \Delta E^2$ [II, 11] $= PN \times NM$ [II, 16], et $\Lambda\Theta \times \Theta Z = AE^2$ [II, 11, 16]. itaque est $PN \times NM : \Lambda\Theta \times \Theta Z = \Pi\Xi \times \Xi N : K\Xi \times \Xi\Theta$. quare etiam reliquum [u. Pappi lemma V, 1]

$$P\Xi \times \Xi M : AE^2 \div K\Xi \times \Xi\Theta = \Delta E^2 : EA^2$$

[Eucl. V, 19]. demonstrandum igitur, esse

$$Z\Xi \times \Xi\Lambda + (AE^2 \div K\Xi \times \Xi\Theta) = 2\,AE^2.$$

auferatur, quod commune est, $AE^2 = Z\Theta \times \Theta\Lambda$. itaque reliquum est, ut demonstremus, esse [u. Pappi lemma V, 2] $K\Xi \times \Xi\Theta + (AE^2 \div K\Xi \times \Xi\Theta) = AE^2$. et est; nam $K\Xi \times \Xi\Theta + AE^2 \div K\Xi \times \Xi\Theta = AE^2$.

XXV.

Iisdem suppositis punctum concursus rectarum rectis $A\Gamma$, $B\Delta$ parallelarum intra alterutram sectionum Δ, B positum sit, sicut infra descriptum est, in Ξ.


dico, rectangulum comprehensum partibus rectae diametro transuersae parallelae, hoc est $O\Xi \times \Xi N$,

---

τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ Halley praeeunte Commandino.
18. τοῦ — 19. ΑΕ] bis V; corr. pc.

των τῆς παραλλήλου τῇ ὀρθίᾳ, τουτέστι τὸ ὑπὸ ΡΞΜ, ὃν τὸ ἀπὸ τῆς ὀρθίας πρὸς τὸ ἀπὸ τῆς πλαγίας, μεῖζον ἔσται τῷ δὶς ἀπὸ τῆς ἡμισείας τῆς πλαγίας τετραγώνῳ.

διὰ γὰρ τὰ αὐτά ἐστιν, ὡς τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΛ, τὸ ὑπὸ ΠΞΘ πρὸς τὸ ὑπὸ ΣΞΛ. ἴσον δὲ τὸ μὲν ἀπὸ ΔΕ τῷ ὑπὸ ΠΜΘ, τὸ δὲ ἀπὸ ΛΕ τῷ ὑπὸ ΛΟΣ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΛΕ, τὸ ὑπὸ ΠΜΘ πρὸς τὸ ὑπὸ ΛΟΣ. καὶ ἐπεί ἐστιν, ὡς ὅλον τὸ ὑπὸ ΠΞΘ πρὸς ὅλον τὸ ὑπο ΛΞΣ,



οὕτως ἀφαιρεθὲν τὸ ὑπὸ ΠΜΘ πρὸς ἀφαιρεθὲν το ὑπὸ ΛΟΣ, τουτέστι τὸ ὑπὸ ΣΤΛ, καὶ λοιπὸν ἄρα τὸ ὑπὸ ΡΞΜ πρὸς λοιπὸν τὸ ὑπὸ ΤΞΚ ἐστιν, ως τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΛΕ. δεικτέον ἄρα, ὅτι τὸ ὑπὸ ΟΞΝ τοῦ ὑπὸ ΤΞΚ μεῖζόν ἐστι τῷ δὶς ἀπὸ ΛΕ. κοινὸν ἀφῃρήσθω τὸ ὑπὸ ΤΞΚ· λοιπὸν ἄρα δεικτέον, ὅτι τὸ ὑπὸ ΟΤΝ ἴσον ἐστὶ τῷ δὶς ἀπὸ ΛΕ. ἔστι δέ.

κς'.

Ἐὰν δὲ ἡ κατὰ τὸ Ξ σύμπτωσις τῶν παραλλήλων ἐντὸς ᾖ μιᾶς τῶν Α, Γ τομῶν, ὡς ὑπόκειται, τὸ περιεχόμενον ὑπὸ τῶν τμημάτων τῆς παραλλήλου τῇ πλαγίᾳ, τουτέστι τὸ ὑπὸ ΛΞΖ, τοῦ πρὸς ὃ λόγον ἔχει τὸ ὑπὸ τῆς ἑτέρας τῶν τμημάτων, τουτέστι τὸ ὑπὸ ΡΞΗ, ὃν τὸ ἀπὸ τῆς ὀρθίας πρὸς τὸ ἀπὸ τῆς πλαγίας, ἔλασσον ἔσται τῷ δὶς ἀπὸ τῆς ἡμισείας τῆς πλαγίας τετραγώνῳ.

ἐπεὶ γὰρ διὰ τὰ αὐτὰ τοῖς πρότερόν ἐστιν, ὡς τὸ

---

6. ὑπό] bis V; corr. pc. 7. τό] τῷ V; corr. p. ΛΟΣ] c, corr. ex ΛΟ, ΟΣ m. 1 V. 14. ΣΤΛ] ΝΣΟ V; corr. Halley.

spatio, ad quod rectangulum comprehensum partibus rectae diametro rectae parallelae, hoc est $P\Xi \times \Xi M$, rationem habet, quam quadratum diametri rectae ad quadratum transuersae, maius erit duplo quadrato dimidiae diametri transuersae.

eadem enim de causa est

$$\varDelta E^2 : EA^2 = \Pi\Xi \times \Xi\Theta : \Sigma\Xi \times \Xi\varLambda.$$

est autem [II, 11] $\varDelta E^2 = \Pi M \times M\Theta$, $AE^2 = \varLambda O \times O\Sigma$. quare etiam $\varDelta E^2 : AE^2 = \Pi M \times M\Theta : \varLambda O \times O\Sigma$. et quoniam est

$$\Pi\Xi \times \Theta\Xi : \varLambda\Xi \times \Xi\Sigma = \Pi M \times M\Theta : \varLambda O \times O\Sigma$$
$$= \Pi M \times M\Theta : \Sigma T \times T\varLambda \text{ [II, 22]},$$

erit etiam reliquum [II, 16; Pappi lemma IV]

$$P\Xi \times \Xi M : T\Xi \times \Xi K \text{ [u. Pappi lemma V, 2 et II, 8]}$$
$$= \varDelta E^2 : AE^2 \text{ [Eucl. V, 19]}.$$

demonstrandum igitur, esse

$$O\Xi \times \Xi N = T\Xi \times \Xi K + 2\,AE^2.$$

auferatur, quod commune est, $T\Xi \times \Xi K$; reliquum igitur est, ut demonstremus, esse $OT \times TN = 2\,AE^2$ [II, 8, 16 et Pappi lemma V, 2]. et est [II, 23].

XXVI.

Sin punctum concursus parallelarum Ξ intra alterutram sectionum A, Γ positum est, sicut infra descriptum est, rectangulum comprehensum partibus rectae diametro transuersae parallelae, hoc est $\varLambda\Xi \times \Xi Z$, spatio, ad quod rectangulum comprehensum partibus alterius, hoc est $P\Xi \times \Xi H$, rationem habet, quam quadratum diametri rectae ad quadratum transuersae, minus erit duplo quadrato dimidiae diametri transuersae.

nam quoniam eadem de causa, qua antea, est

ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ, τὸ ὑπὸ ΦΞΣ πρὸς τὸ ὑπὸ ΚΞΘ, καὶ ὅλον ἄρα τὸ ὑπὸ ΡΞΗ λόγον ἔχει τὸν τοῦ ἀπὸ τῆς ὀρθίας πρὸς τὸ ἀπὸ τῆς πλαγίας πρὸς τὸ ὑπὸ ΚΞΘ μετὰ τοῦ ἀπὸ ΑΕ. δεικτέον ἄρα, ὅτι τὸ ὑπὸ ΛΞΖ τοῦ ὑπὸ ΚΞΘ μετὰ τοῦ ἀπὸ ΑΕ ἔλασσόν ἐστι τῷ δὶς ἀπὸ ΑΕ.

κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ ΑΕ· λοιπὸν ἄρα δεικτέον, ὅτι τὸ ὑπὸ ΛΞΖ τοῦ ὑπὸ ΚΞΘ ἔλασσόν ἐστι τῷ ἀπὸ ΑΕ, τουτέστι τῷ ὑπὸ ΛΘΖ. ἔστι δέ· τὸ γὰρ ὑπὸ ΛΘΖ μετὰ τοῦ ὑπὸ ΛΞΖ ἴσον ἐστὶ τῷ ὑπὸ ΚΞΘ.

κζ'.

Ἐὰν ἐλλείψεως ἢ κύκλου περιφερείας συζυγεῖς διάμετροι ἀχθῶσι, καὶ λέγηται αὐτῶν ἡ μὲν ὀρθία, ἡ δὲ πλαγία, καὶ παρ' αὐτὰς ἀχθῶσι δύο εὐθεῖαι συμπίπτουσαι ἀλλήλαις καὶ τῇ γραμμῇ, τὰ ἀπὸ τῶν ἀπολαμβανομένων εὐθειῶν ἐπ' εὐθείας τῆς παρὰ τὴν πλαγίαν ἠγμένης μεταξὺ τῆς συμπτώσεως τῶν εὐθειῶν καὶ τῆς γραμμῆς τετράγωνα προσλαβόντα τὰ ἀπὸ τῶν ἀπολαμβανομένων εὐθειῶν ἐπ' εὐθείας τῆς παρὰ τὴν ὀρθίαν ἠγμένης μεταξὺ τῆς συμπτώσεως τῶν εὐθειῶν καὶ τῆς γραμμῆς ὅμοια καὶ ὁμοίως ἀναγεγραμμένα εἴδη τῷ ὑποκειμένῳ εἴδει πρὸς τῇ ὀρθίᾳ διαμέτρῳ ἴσα ἔσται τῷ ἀπὸ τῆς πλαγίας διαμέτρου τετραγώνῳ.

ἔστω γὰρ ἔλλειψις ἢ κύκλου περιφέρεια ἡ ΑΒΓΔ, ἧς κέντρον τὸ Ε, καὶ ἤχθωσαν αὐτῆς δύο συζυγεῖς

---

3. τοῦ ἀπό] ἀπὸ τοῦ V; corr. p. 6. ΛΞΖ] c, corr. ex ΛΞΘ m. 1 V. 11. τῷ] pc, mutat. in τοῦ m. 1 V; τοῦ v. 25. διαμέτρῳ] μέτρῳ V; corr. p.

$\Delta E^2 : EA^2 = \Phi\Xi \times \Xi\Sigma : K\Xi \times \Xi\Theta$, erit etiam totum [u. Pappi lemma V, 2, coll. II, 11, 16]

$P\Xi \times \Xi H : K\Xi \times \Xi\Theta + AE^2 = \Delta E^2 : EA^2$ [Eucl. V, 12].

demonstrandum igitur, esse

$$\Lambda\Xi \times \Xi Z + 2\,AE^2 = K\Xi \times \Xi\Theta + AE^2.$$

auferatur, quod commune est, AE^2; itaque reliquum est, ut demonstremus, esse

$$\Lambda\Xi \times \Xi Z + AE^2 = K\Xi \times \Xi\Theta,$$

hoc est [II, 11, 16] $\Lambda\Xi \times \Xi Z = K\Xi \times \Xi\Theta \div \Lambda\Theta \times \Theta Z$. et est; nam $\Lambda\Theta \times \Theta Z + \Lambda\Xi \times \Xi Z = K\Xi \times \Xi\Theta$ [u. Pappi lemma IV, coll. II, 16].

XXVII.

Si ellipsis uel ambitus circuli diametri coniugatae ducuntur, et altera earum diametrus recta sumitur, altera transuersa, iisque parallelae duae rectae ducuntur inter se et cum linea concurrentes, quadrata rectarum in recta diametro transuersae parallela ducta inter punctum concursus rectarum lineamque abscisarum adsumptis figuris descriptis in rectis in recta diametro rectae parallela ducta inter punctum concursus rectarum lineamque abscisis, quae figurae similes similiterque descriptae sunt figurae ad diametrum rectam suppositae, aequalia erunt quadrato diametri transuersae.

sit enim ellipsis uel ambitus circuli $AB\Gamma\Delta$, cuius centrum sit E, et ducantur duae eius diametri coniugatae, recta $AE\Gamma$, transuersa autem $BE\Delta$, rectisque $A\Gamma$, $B\Delta$ parallelae ducantur $NZH\Theta$, $KZ\Lambda M$. dico, $NZ^2 + Z\Theta^2$ adsumptis figuris in KZ, ZM similibus

διάμετροι, ὀρθία μὲν ἡ ΑΕΓ, πλαγία δὲ ἡ ΒΕΔ, καὶ παρὰ τὰς ΑΓ, ΒΔ ἤχθωσαν αἱ ΝΖΗΘ, ΚΖΛΜ. λέγω, ὅτι τὰ ἀπὸ τῶν ΝΖ, ΖΘ τετράγωνα προσλαβόντα τὰ ἀπὸ τῶν ΚΖ, ΖΜ εἴδη ὅμοια καὶ ὁμοίως ἀναγεγραμμένα τῷ πρὸς τῇ ΑΓ εἴδει ἴσα ἔσται τῷ ἀπὸ τῆς ΒΔ τετραγώνῳ.

ἤχθω ἀπὸ τοῦ Ν παρὰ τὴν ΑΕ ἡ ΝΞ· τεταγμένως ἄρα κατῆκται ἐπὶ τὴν ΒΔ. καὶ ἔστω ὀρθία ἡ ΒΠ. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΒΠ πρὸς ΑΓ, ἡ ΑΓ πρὸς ΒΔ, καὶ ὡς ἄρα ἡ ΒΠ πρὸς ΒΔ, τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΒΔ. τὸ δὲ ἀπὸ ΒΔ ἴσον ἐστὶ τῷ πρὸς τῇ ΑΓ εἴδει· ἔστιν ἄρα, ὡς ἡ ΒΠ πρὸς ΒΔ, τὸ ἀπὸ ΑΓ τετράγωνον πρὸς τὸ ἀπὸ ΑΓ εἶδος. ὡς δὲ τὸ ἀπὸ ΑΓ τετράγωνον πρὸς τὸ ἀπὸ ΑΓ εἶδος, τὸ ἀπὸ ΝΞ τετράγωνον πρὸς τὸ ἀπὸ ΝΞ εἶδος ὅμοιον τῷ πρὸς τῇ ΑΓ εἴδει· καὶ ὡς ἄρα ἡ ΠΒ πρὸς ΒΔ, τὸ ἀπὸ ΝΞ τετράγωνον πρὸς τὸ ἀπὸ ΝΞ εἶδος ὅμοιον τῷ πρὸς τῇ ΑΓ εἴδει. ἔστι δὲ καί, ὡς ἡ ΠΒ πρὸς ΒΔ, τὸ ἀπὸ ΝΞ πρὸς τὸ ὑπὸ ΒΞΔ· ἴσον ἄρα ἐστὶ τὸ ἀπὸ ΝΞ εἶδος, τουτέστι τὸ ἀπὸ ΖΛ, ὅμοιον τῷ πρὸς τῇ ΑΓ εἴδει, τῷ ὑπὸ ΒΞΔ. ὁμοίως δὴ δείξομεν, ὅτι τὸ ἀπὸ ΚΛ εἶδος ὅμοιον τῷ πρὸς τῇ ΑΓ εἴδει ἴσον ἐστὶ τῷ ὑπὸ ΒΛΔ. καὶ ἐπεὶ εὐθεῖα ἡ ΝΘ τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Η, εἰς δὲ ἄνισα κατὰ τὸ Ζ, τὰ ἀπὸ τῶν ΘΖ, ΖΝ τετράγωνα διπλάσιά εἰσι τῶν ἀπὸ ΘΗ, ΗΖ, τουτέστι τῶν ἀπὸ ΝΗ, ΗΖ. διὰ τὰ αὐτὰ δὴ καὶ τὰ ἀπὸ ΜΖ, ΖΚ τετράγωνα διπλάσιά ἐστι τῶν ἀπὸ ΚΛΖ τετραγώνων, καὶ τὰ ἀπὸ

---


3. ΝΖ] p, corr. ex ΝΞ m. 1 V. 13. τό] (pr.) om. V; corr. p. 17. ΝΞ] (alt.) pc, corr. ex ΝΖ m. 1 V. 26. τῶν] (pr.) pc, corr. ex τῷ m. 1 V.

similiterque descriptis figurae ad $A\Gamma$ adplicatae esse $= B\Delta^2$.

ducatur ab N rectae AE parallela $N\Xi$; ea igitur ad $B\Delta$ ordinate ducta est [I def. 6]. et latus rectum sit $B\Pi$. iam quoniam est [I def. alt. 3]

$$B\Pi : A\Gamma = A\Gamma : B\Delta,$$

erit etiam $B\Pi : B\Delta = A\Gamma^2 : B\Delta^2$ [Eucl. V def. 9]. uerum $B\Delta^2$ figurae ad $A\Gamma$ adplicatae aequale est [I, 15]. itaque ut $B\Pi : B\Delta$, ita $A\Gamma^2$ ad figuram



ad $A\Gamma$ adplicatam. uerum ut $A\Gamma^2$ ad figuram ad $A\Gamma$ adplicatam, ita $N\Xi^2$ ad figuram ad $N\Xi$ adplicatam figurae ad $A\Gamma$ adplicatae similem [Eucl. VI, 22]. quare etiam, ut $\Pi B : B\Delta$, ita $N\Xi^2$ ad figuram ad $N\Xi$ adplicatam figurae ad $A\Gamma$ adplicatae similem. uerum etiam [I, 21] $\Pi B : B\Delta = N\Xi^2 : B\Xi \times \Xi\Delta$. itaque [Eucl. V, 9] figura ad $N\Xi$, hoc est [Eucl. I, 34] ad $Z\Lambda$, adplicata figurae ad $A\Gamma$ adplicatae similis aequalis est rectangulo $B\Xi \times \Xi\Delta$. iam similiter demonstrabimus, figuram ad $K\Lambda$ adplicatam figurae ad $A\Gamma$ adplicatae similem aequalem esse rectangulo $B\Lambda \times \Lambda\Delta$. et quoniam recta $N\Theta$ in H in partes aequales [I def. 6], in Z autem in inaequales secta est,

ΜΖΚ εἴδη ὅμοια τῷ πρὸς τῇ ΑΓ εἴδει διπλάσιά ἐστι τῶν ἀπὸ ΚΛΖ ὁμοίων εἰδῶν. ἴσα δέ ἐστι τὰ μὲν ἀπὸ ΚΛΖ εἴδη τοῖς ὑπὸ ΒΞΔ, ΒΛΔ, τὰ δὲ ἀπὸ ΝΗΖ τετράγωνα τοῖς ἀπὸ ΞΕΛ· τὰ ἄρα ἀπὸ ΝΖΘ τετράγωνα μετα τῶν ἀπὸ ΚΖΜ εἰδῶν ὁμοίων τῷ πρὸς τῇ ΑΓ εἴδει διπλάσιά ἐστι τῶν ὑπὸ ΒΞΔ, ΒΛΔ καὶ τῶν ἀπὸ ΞΕΛ. καὶ ἐπεὶ εὐθεῖα ἡ ΒΔ τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Ε, εἰς δὲ ἄνισα κατὰ τὸ Ξ, τὸ ὑπὸ ΒΞΔ μετὰ τοῦ ἀπὸ ΞΕ ἴσον ἐστὶ τῷ ἀπὸ ΒΕ. ὁμοίως δὲ καὶ τὸ ὑπὸ ΒΛΔ μετὰ τοῦ ἀπὸ ΛΕ ἴσον ἐστὶ τῷ ἀπὸ ΒΕ· ὥστε τὰ ὑπὸ ΒΞΔ καὶ ὑπὸ ΒΛΔ καὶ τὰ ἀπὸ ΞΕ, ΛΕ ἴσα ἐστὶ τῷ δὶς ἀπὸ ΒΕ. τὰ ἄρα ἀπὸ ΝΖΘ τετράγωνα μετὰ τῶν ἀπὸ ΚΖΜ εἰδῶν ὁμοίων τῷ πρὸς τῇ ΓΑ εἴδει διπλάσιά ἐστι τοῦ δὶς ἀπὸ ΒΕ. ἔστι δὲ καὶ τὸ ἀπὸ ΒΔ διπλάσιον τοῦ δὶς ἀπὸ ΒΕ· τὰ ἄρα ἀπὸ ΝΖΘ τετράγωνα προσλαβόντα τὰ ἀπὸ ΚΖΜ εἴδη ὅμοια τῷ πρὸς τῇ ΑΓ εἴδει ἴσα ἐστὶ τῷ ἀπὸ ΒΔ.

κη'.

Ἐὰν ἐν ταῖς κατὰ συζυγίαν ἀντικειμέναις συζυγεῖς διάμετροι ἀχθῶσι, καὶ λέγηται αὐτῶν ἡ μὲν ὀρθία, ἡ δὲ πλαγία, ἀχθῶσι δὲ παρ' αὐτὰς δύο εὐθεῖαι συμπίπτουσαι ἀλλήλαις καὶ ταῖς τομαῖς, τα ἀπὸ τῶν λαμβανομένων εὐθειῶν ἐπ' εὐθείας τῆς παρὰ τὴν ὀρθίαν ἠγμένης μεταξὺ τῆς συμπτώσεως τῶν εὐθειῶν καὶ τῶν τομῶν τετράγωνα πρὸς τὰ ἀπὸ τῶν ἀπολαμβανομένων εὐθειῶν ἐπ' εὐθείας τῆς παρὰ τὴν πλαγίαν ἠγμένης μεταξὺ τῆς συμπτώσεως τῶν εὐθειῶν καὶ τῶν τομῶν

---

9. *μετά*] pc, *μ* e corr. m. 1 V. 10. *δέ*] *δή* Halley. 23. *ἀπολαμβανομένων* Halley. 26. *τά*] *τό* V; corr. p. 27. *ἠγμένης*] *τῆς ἠγμένης* V; corr. p.

erit [Eucl. II, 9]
$\Theta Z^2 + ZN^2 = 2(\Theta H^2 + HZ^2) = 2(NH^2 + HZ^2)$.
eadem de causa erit etiam

$$MZ^2 + ZK^2 = 2(K\Lambda^2 + \Lambda Z^2),$$

et figurae in MZ, ZK descriptae figurae in $A\Gamma$ descriptae similes duplo maiores sunt figuris in $K\Lambda$, ΛZ similibus descriptis [Eucl. VI, 22]. uerum figurae in $K\Lambda$, ΛZ descriptae rectangulis $B\Xi \times \Xi\Delta$, $B\Lambda \times \Lambda\Delta$ aequales sunt, et $NH^2 + HZ^2 = \Xi E^2 + E\Lambda^2$ [Eucl. I, 34]; itaque $NZ^2 + Z\Theta^2$ cum figuris in KZ, ZM figurae ad $A\Gamma$ adplicatae similibus descriptis duplo maiora sunt quam $B\Xi \times \Xi\Delta + B\Lambda \times \Lambda\Delta + \Xi E^2 + E\Lambda^2$. et quoniam recta $B\Delta$ in E in partes aequales, in Ξ autem in partes inaequales secta est, erit [Eucl. II, 5] $B\Xi \times \Xi\Delta + \Xi E^2 = BE^2$. et eodem modo

$$B\Lambda \times \Lambda\Delta + \Lambda E^2 = BE^2.$$

quare erit

$$B\Xi \times \Xi\Delta + B\Lambda \times \Lambda\Delta + \Xi E^2 + \Lambda E^2 = 2\,BE^2.$$


itaque $NZ^2 + Z\Theta^2$ cum figuris in KZ, ZM figurae ad ΓA adplicatae similibus descriptis aequalia sunt $4\,BE^2$. uerum etiam $B\Delta^2 = 4\,BE^2$. itaque $NZ^2 + Z\Theta^2$ adsumptis figuris in KZ, ZM figurae ad $A\Gamma$ adplicatae similibus descriptis quadrato $B\Delta^2$ aequalia sunt.

XXVIII.

Si in oppositis coniugatis diametri coniugatae ducuntur, et altera earum diametrus recta sumitur, altera transuersa, iisque parallelae duae rectae ducuntur inter se et cum sectionibus concurrentes, quadrata rectarum in recta diametro rectae parallela ducta inter punctum concursus rectarum sectionesque sumptarum ad qua-

τετράγωνα λόγον ἔχουσιν, ὃν τὸ ἀπὸ τῆς ὀρθίας τετράγωνον πρὸς τὸ ἀπὸ τῆς πλαγίας τετράγωνον.

ἔστωσαν κατὰ συζυγίαν ἀντικείμεναι αἱ Α, Β, Γ, Δ, διάμετροι δὲ αὐτῶν ὀρθία μὲν ἡ ΑΕΓ, πλαγία δὲ ἡ ΒΕΔ, καὶ παρ' αὐτας ἤχθωσαν αἱ ΖΗΘΚ, ΛΗΜΝ τέμνουσαι ἀλλήλας καὶ τὰς τομάς. λέγω, ὅτι τὰ ἀπὸ τῶν ΛΗΝ τετράγωνα πρὸς τὰ ἀπὸ ΖΗΚ λόγον ἔχει, ὃν τὸ ἀπὸ τῆς ΑΓ πρὸς τὸ ἀπὸ ΒΔ.



ἤχθωσαν γὰρ ἀπὸ τῶν Ζ, Λ τεταγμένως αἱ ΛΞ, ΖΟ· παράλληλοι ἄρα εἰσὶ ταῖς ΑΓ, ΒΔ. ἀπὸ δὲ τοῦ Β ἤχθω ἡ ὀρθία τῆς ΒΔ ἡ ΒΠ· φανερὸν δή, ὅτι ἐστίν, ὡς ἡ ΠΒ πρὸς ΒΔ, τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΒΔ καὶ τὸ ἀπὸ ΑΕ πρὸς τὸ ἀπὸ ΕΒ καὶ τὸ ἀπὸ ΖΟ πρὸς τὸ ὑπὸ ΒΟΔ καὶ τὸ ὑπὸ ΓΞΑ πρὸς τὸ ἀπὸ ΛΞ. ἔστιν ἄρα, ὡς ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα· ὡς ἄρα τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΒΔ, τὸ ὑπὸ ΓΞΑ μετὰ τοῦ ἀπὸ ΑΕ καὶ τοῦ ἀπὸ ΟΖ, τουτέστι τοῦ ἀπὸ ΕΘ, πρὸς τὸ ὑπὸ ΔΟΒ μετὰ τοῦ ἀπὸ ΒΕ καὶ τοῦ ἀπὸ ΛΞ, τουτέστι τοῦ ἀπὸ ΜΕ. ἀλλὰ τὸ μὲν ὑπὸ ΓΞΑ μετὰ τοῦ ἀπὸ ΑΕ ἴσον ἐστὶ τῷ ἀπὸ ΞΕ, τὸ δὲ ὑπὸ ΔΟΒ μετὰ τοῦ ἀπὸ ΒΕ ἴσον ἐστὶ τῷ ἀπὸ ΟΕ· ὡς ἄρα τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΒΔ, τὰ ἀπὸ ΞΕΘ πρὸς τὰ ἀπὸ ΟΕΜ, τουτέστι τὰ ἀπὸ ΛΜΗ πρὸς τὰ ἀπὸ ΖΘΗ. καί ἐστι τῶν μὲν

5. ΒΕΔ] ΑΕΔ V; corr. p. ΛΗΜΝ] ΗΛΜΝ V; corr. p. 14. ΑΓ, ΒΔ] ΑΒ, ΓΔ V; corr. p. 19. ΛΞ] p;

drata rectarum in recta diametro transuersae parallela ducta inter punctum concursus rectarum sectionesque abscisarum eam rationem habent, quam quadratum diametri rectae ad quadratum diametri transuersae.

sint oppositae coniugatae A, B, Γ, Δ, diametri autem earum recta $AE\Gamma$, transuersa $BE\Delta$, iisque parallelae ducantur $ZH\Theta K$, ΛHMN inter se sectionesque secantes. dico, esse

$$\Lambda H^2 + HN^2 : ZH^2 + HK^2 = A\Gamma^2 : B\Delta^2.$$

ducantur enim a Z, Λ ordinate $\Lambda\Xi$, ZO; eae igitur rectis $A\Gamma$, $B\Delta$ parallelae erunt [I def. 6]. a B autem latus rectum transuersi lateris $B\Delta$ ducatur $B\Pi$. manifestum igitur, esse

$$\Pi B : B\Delta = A\Gamma^2 : B\Delta^2 \text{ [I def. alt. 3; Eucl. V def. 9]}$$
$$= AE^2 : EB^2 \text{ [Eucl. V, 15]} = ZO^2 : BO \times O\Delta \text{ [I, 21]}$$
$$= \Gamma\Xi \times \Xi A : \Lambda\Xi^2 \text{ [I, 56]}.$$

itaque, ut unum praecedentium ad unum sequentium, ita omnia praecedentia ad omnia sequentia [Eucl. V, 12]; quare erit

$$A\Gamma^2 : B\Delta^2$$
$$= \Gamma\Xi \times \Xi A + AE^2 + OZ^2 : \Delta O \times OB + BE^2 + \Lambda\Xi^2$$
$$= \Gamma\Xi \times \Xi A + AE^2 + E\Theta^2 : \Delta O \times OB + BE^2 + ME^2$$

[Eucl. I, 34]. est autem

$$\Gamma\Xi \times \Xi A + AE^2 = \Xi E^2,\ \Delta O \times OB + BE^2 = OE^2$$

[Eucl. II, 6]; itaque


$$A\Gamma^2 : B\Delta^2 = \Xi E^2 + E\Theta^2 : OE^2 + EM^2$$
$$= \Lambda M^2 + MH^2 : Z\Theta^2 + \Theta H^2 \text{ [Eucl. I, 34]}.$$

$\Delta\Xi$ c et corr. m. 1 ex ΔZ V. 23. τοῦ] pv; euan. V. 29. $Z\Theta H$] $ZH\Theta$ V; corr. Memus.

ἀπὸ ΛΜΗ διπλάσια τὰ ἀπὸ ΝΗΛ, ὡς δέδεικται, τῶν δὲ ἀπὸ ΖΘΗ τὰ ἀπὸ ΖΗΚ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΒΔ, τὰ ἀπὸ ΛΗΝ πρὸς τὰ ἀπὸ ΖΗΚ.

κθ'.

Τῶν αὐτῶν ὑποκειμένων ἐὰν ἡ τῇ ὀρθίᾳ παράλληλος τέμνῃ τὰς ἀσυμπτώτους, τὰ ἀπὸ τῶν ἀπολαμβανομένων εὐθειῶν ἐπ' εὐθείας τῆς παρὰ τὴν ὀρθίαν ἠγμένης μεταξὺ τῆς συμπτώσεως τῶν εὐθειῶν καὶ τῶν ἀσυμπτώτων προσλαβόντα τὸ ἥμισυ τοῦ ἀπὸ τῆς ὀρθίας τετραγώνου πρὸς τὰ ἀπὸ τῶν ἀπολαμβανομένων ἐπ' εὐθείας τῆς παρὰ την πλαγίαν ἠγμένης μεταξὺ τῆς συμπτώσεως τῶν εὐθειῶν καὶ τῶν τομῶν τετράγωνα λόγον ἔχει, ὃν τὸ ἀπὸ τῆς ὀρθίας τετράγωνον πρὸς τὸ ἀπὸ τῆς πλαγίας τετράγωνον.



ἔστω γὰρ τὰ αὐτὰ τῷ πρότερον, ἡ δὲ ΝΛ τεμνέτω τὰς ἀσυμπτώτους κατὰ τὰ Ξ, Ο. δεικτέον, ὅτι τὰ ἀπὸ ΞΗΟ προσλαβόντα τὸ ἥμισυ τοῦ ἀπὸ ΑΓ, τουτέστι τὸ δὶς ἀπὸ ΕΑ [τουτέστι τὸ δὶς ὑπο ΟΛΞ], πρὸς τα ἀπὸ ΖΗΚ λόγον ἔχει, ὃν τὸ ἀπὸ ΑΓ προς το ἀπὸ ΒΔ.

ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΛΞ τῇ ΟΝ, τα ἀπο τῶν ΛΗΝ τῶν ἀπὸ ΞΗΟ ὑπερέχει τῷ δὶς ὑπὸ ΝΞΛ· τὰ ἄρα ἀπὸ ΞΗΟ μετὰ τοῦ δὶς ἀπὸ ΑΕ ἴσα ἐστὶ τοῖς ἀπὸ ΛΗΝ. τὰ δὲ ἀπὸ ΛΗΝ προς τὰ ἀπὸ ΖΗΚ

2. ΖΘΗ] ΖΗΘ V; corr. Comm. 8. Post συμπτώσεως del. compendium καί m. 1 V; non habet v; hab. pc. 19. ΝΛ]

est autem, ut demonstrauimus [prop. XXVII ex Eucl. II, 9]

$$NH^2 + H\Lambda^2 = 2(\Lambda M^2 + MH^2),$$
$$ZH^2 + HK^2 = 2(Z\Theta^2 + \Theta H^2).$$

ergo etiam

$$A\Gamma^2 : B\Delta^2 = \Lambda H^2 + HN^2 : ZH^2 + HK^2.$$

XXIX.

Iisdem suppositis si recta diametro rectae parallela asymptotas secat, quadrata rectarum in recta diametro rectae parallela ducta inter punctum concursus rectarum asymptotasque abscisarum adsumpto dimidio quadrato diametri rectae ad quadrata rectarum in recta diametro transuersae parallela ducta inter punctum concursus rectarum sectionesque abscisarum rationem habent, quam quadratum diametri rectae ad quadratum diametri transuersae.

sint enim eadem, quae in propositione praecedenti, $N\Lambda$ autem asymptotas secet in Ξ, O. demonstrandum, esse

$$\Xi H^2 + HO^2 + \tfrac{1}{2} A\Gamma^2 : ZH^2 + HK^2 = A\Gamma^2 : B\Delta^2$$
$$= \Xi H^2 + HO^2 + 2\,E\Delta^2 : ZH^2 + HK^2.$$

nam quoniam est $\Lambda\Xi = ON$ [II, 16], erit [u. Pappi lemma VII et Eutocius]

$$\Lambda H^2 + HN^2 = \Xi H^2 + HO^2 + 2\,N\Xi \times \Xi\Lambda$$
$$= \Xi H^2 + HO^2 + 2\,\Delta E^2 \text{ [II, 11, 16]}.$$

$M\Lambda$ V; corr. p (ΛN). 20. τά] τό V; corr. p. 21. ΞHO] ΞNO V; corr. Memus. 23. τουτέστι — $O\Lambda\Xi$] deleo. 26. τῷ] τό V; corr. p.

λόγον ἔχει, ὃν τὸ ἀπο $A\Gamma$ πρὸς τὸ ἀπὸ $B\Delta$· καὶ τὰ ἀπὸ $\Xi H O$ ἄρα μετα τοῦ δὶς ἀπὸ EA πρὸς τα ἀπο ZHK λόγον ἔχει, ὃν τὸ ἀπὸ $A\Gamma$ πρὸς τὸ ἀπὸ $B\Delta$.

λ'.

Ἐὰν ὑπερβολῆς δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, καὶ διὰ μὲν τῶν ἁφῶν εὐθεῖα ἐκβληθῇ, διὰ δὲ τῆς συμπτώσεως ἀχθῇ εὐθεῖα παρά τινα τῶν ἀσυμπτώτων τέμνουσα τήν τε τομὴν καὶ την τὰς ἁφὰς ἐπιζευγνύουσαν, ἡ μεταξὺ τῆς συμπτώσεως καὶ τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης δίχα τμηθήσεται ὑπὸ τῆς τομῆς.

ἔστω ὑπερβολὴ ἡ $AB\Gamma$, καὶ ἐφαπτόμεναι μὲν αἱ $A\Delta\Gamma$, ἀσύμπτωτοι δὲ αἱ EZH, καὶ ἐπεζεύχθω ἡ $A\Gamma$, καὶ διὰ τοῦ Δ παρὰ τὴν ZE ἤχθω ἡ $\Delta K\Lambda$. λέγω, ὅτι ἴση ἐστὶν ἡ ΔK τῇ $K\Lambda$.


